διάστασιν ἀνδρεία. οὕτω καὶ ἡ παράδοσις. πρόσκειται, ἐπὶ τῆς ἀρετῆς· ἐπειδὴ ἐπὶ γυναικὸς παρὰ Φιλοξένῳ οὐ
462 λέγεται ἀνδρεία γυνὴ, ἀλλὰ μᾶλλον ἀνδρικὴ γυνή. πρόσκειται, μὴ ἀπὸ τῶν εἰς ος προπερισπωμένων, διὰ τὸ Ἀργεῖος ἀργεία, ἀνδρεῖος ἀνδρεία· μὴ Ἀττικά· ἐπειδὴ τὸ ἱέρεια καὶ εὔκλεια Ἀττικῶς καταβιβάζουσι τὸν τόνον, καὶ τὸ α ἐκτείνουσι. τοιοῦτον καὶ τὸ θύεια, ὃ σημαίνει τὴν ἴγδην. Ἀττικοὶ ἐκτείνουσι τὸ α, καὶ καταβιβάζουσι τὸν τόνον, καὶ τὴν αὐτὴν γραφὴν φυλάττουσι. τὸ δὲ νωθεία ἡ ἀργεία, ἀπὸ τοῦ νωθρός ἐστι νωθρεύω, νωθρεία, κατὰ ἀποβολὴν τοῦ ρ. τὰ εἰς ος ἔχοντα ῥῆμα ἀντιπαρακείμενον διὰ τοῦ ευω, εἰ μὲν ὦσιν ἁπλᾶ, τῷ ῥήματι ἀκολουθεῖ τὰ θηλυκά· οἷον πόρος πορεύω, πορεία δίφθογγον· εἰ δὲ ὦσι σύνθετα, διὰ τοῦ ι γράφεται τὰ θηλυκά. οἷον φιλάνθρωπος, φιλανθρωπεύω, φιλανθρωπία, ὑπερηφανία, καὶ παρθενία. τὰ παρὰ τὸ ἦθος διφορεῖται, ἀήθεια καὶ ἀηθία· (πολιτικώτερον δὲ διὰ τοῦ ι) καὶ τὰ παρὰ τὸ κέρδος, φιλοκέρδεια καὶ φιλοκερδία, αἰσχροκέρδεια καὶ αἰσχροκερδία· καὶ τὰ παρὰ τὸ παθεῖν καὶ μαθεῖν, εὐπάθεια καὶ εὐπαθία, εὐμάθεια καὶ εὐμαθία, προμήθεια καὶ προμηθία· εὐέπεια καὶ εὐεπία. ὠφέλεια καὶ ὠφελία, εὐμάρεια καὶ εὐμαρία· οἰκωφελία καὶ κοινωφελία μόνως, καὶ ἀμαθία· καὶ τὸ ι, πολιτικόν. τὰ παρὰ τὸ φυή, διὰ τοῦ ι, εὐφυία. εὕρηται καὶ εὐφύεια παρὰ Ἀλέξιδι. τὰ παρὰ τὸ τύχη, διὰ τοῦ ι, εὐτυχία. εὕρηται καὶ εὐτύχεια παρὰ Σοφοκλεῖ. τὰ παρὰ τὸ ἔτος διὰ τοῦ ι γράφεται· τὰ δὲ παρὰ τὸ ἄλλο, διὰ διφθόγγου.

## I.

462 Ἰῶτα τὸ στοιχεῖον, παρὰ τὸν ἰὸν τῶν ἰοβόλων ζώων· ὥσπερ γὰρ ὁ ἰὸς εἰς ὀρθὸν βαδίζει ᾧ καὶ πέπρωται, οὕτω καὶ ἡ τούτου γραφὴ ὀρθὴ οὖσα, ἰῶτα καλεῖν ἠνίξατο. ἢ ἀπὸ τῶν ἰῶν τῶν βελῶν. Ἰστέον ὅτι τὸ ἰῶτα καὶ Ἰάσων τινὲς ἐν συλλήψει λέγουσιν εἶναι. ἔστι δὲ ἀνατρέψαι αὐτούς· ἐπειδὴ τὰ ὑποταττόμενα τινὶ ἐν συλλήψει, ἐὰν ἀντιπροηγήσωνται, ἐν διαστάσει ἀντιπροηγοῦνται· οἷον, πρῶτος, ἕρπω· κλέος, ἕλκω. εἰ ἄρα οὖν τὸ ἰῶτα ὑποτέτακται τοῦ α καὶ τοῦ ω κατὰ σύλληψιν, οἷον τῷ κοχλίᾳ, τῷ καλῷ, δηλονότι ἀντιπροηγησάμενον αὐτῷ ἐν τῷ ἰῶτα καὶ Ἰάσων κατὰ διάστασιν ἀντιπροηγήσατο. ζήτει περιστιζόμενον τὸ ι καὶ υ εἰς τὸ αὐλός. τὸ δὲ ἰῶτα, παράγωγον ἐστίν, ι· μονόγραμμα γὰρ ἐστίν· ἀλλὰ κατὰ παραγωγὴν γίνεται ἰῶτα.

Ἰακώβ, ἄκλιτόν ἐστι· καὶ διαφέρει μονοπτώτου. τὸ μὲν γὰρ ἄκλιτον, ἐπ' εὐθείας καὶ γενικῆς καὶ δοτικῆς· καὶ αἰτιατικῆς καὶ κλητικῆς, μετὰ διαφόρων ἄρθρων λέγεται· οἷον, ὁ Ἀβραάμ, τοῦ Ἀβραάμ, τῷ Ἀβραάμ, τὸν Ἀβραάμ, ὦ Ἀβραάμ· τὸ δὲ μονόπτωτον, ἐπ' εὐθείας μόνης· οἷον τὸ ὄφελος, τὸ οὖς.

Ἴακχος, αὐτὸς ὁ Διόνυσος, ἡ ἑορτή. παρὰ τὴν ἰαχὴν τὴν ἐν ταῖς χορείαις γινομένην, τουτέστι τὴν βοήν, γίνεται ἴαχος· καὶ πλεονασμῷ τοῦ κ, ἴακχος. ἢ ἀπὸ τῆς ἐν τοῖς πότοις ἰαχῆς.

Ἰάλεμος, σημαίνει τὸν θρῆνον. ἔστι γὰρ εἶδος θρήνου. ὅτε μὲν ἐπὶ τοῦ Ἀπόλλωνος λέγεται, δασύνεται, [ἀπὸ τῆς] ἱήσεως (ὅ ἐστιν ἀφέσεως) τῶν βελῶν· ἐπὶ δὲ τοῦ θρήνου, ψιλοῦται. γεγόνασι δὲ ἀμφότερα οὕτως. ἔστιν ἵημι τὸ πέμπω. ἐκ τούτου γίνεται ἴηος· εἶτα ἰήεμος
463 διὰ τοῦ ε κατὰ τὴν παραλήγουσαν· τροπῇ τοῦ η εἰς α, καὶ πλεονασμῷ τοῦ λ. ἰάλεμος, ἐπὶ τοῦ θρήνου. ἢ ἐκ τοῦ ἴηος, κατὰ τροπὴν τοῦ η εἰς ε, γίνεται ἴεμος· καὶ πλεονασμῷ τῆς αλ συλλαβῆς, ἰάλεμος· καὶ ἰαλεμῆσαι, τὸ θρηνῆσαι, ὡς παρὰ Καλλιμάχῳ, Εἰδυῖα φάλιον ταῦρον ἰηλεμίσαι — οὕτω Φιλόξενος περὶ μονοσυλλάβων, ὥς φησιν Ὠρίων. ἐν ἄλλοις δὲ εὗρον ἐγὼ τὸ ἰάλεμος ἐπὶ τοῦ θρήνου ἐτυμολογούμενον παρὰ τὸ ἐπὶ τοῖς ὀλωλόσιν ἰωὴν φέρειν.

Ἴαλλοι, τὰ σκώμματα, οἷον τίλλοι τινὲς ὄντες, ὡς παρὰ Ἀνακρέοντι τίλλειν ἀντὶ τοῦ σκώπτειν.

Ἰάλλω] παρὰ τὸ ἰῶ παράγωγον ἰάλλω τὸ πέμπω, οἷον ἰέναι ποιῶ· καὶ — χεῖρας ἴαλλον, ἀντὶ τοῦ ἐξέτεινον. εἰς τὸ προΐηλεν.

Ἰάλεμος, υἱὸς Καλλιόπης, ὁ κακοδαίμων καὶ οὐδενὸς ἄξιος· ὅθεν καὶ Ἰαλέμου ᾠδή, ψυχρὰ καὶ οὐδενὸς ἀξία· καὶ παροιμία, Ψυχρότερος Ἰαλέμου· καί, Οἰκτρότερος Ἰαλέμου· καὶ τὸ θρηνεῖν, ἰαλεμίζειν λέγεται. ἰηός, ἐπὶ τοῦ θρήνου ψιλοῦται· καὶ Σοφοκλῆς, Ἰήων καμάτων, τῶν θρηνητικῶν. παρὰ δὴ τὸ ἰηός, γίνεται ὄνομα εἰς μος τῷ ε παραλῆγον, ἰήεμος, ὡς τῆλε, τήλεμος· τροπῇ τοῦ η εἰς α, καὶ πλεονασμῷ τοῦ λ, γίνεται ἰάλεμος, ὁ θρῆνος.

Ἰάμβη] τινὲς ὅτι Ἰάμβη Ἠχοῦς καὶ Πανὸς θυγάτηρ· τὴν Δήμητραν δὲ λυπουμένην παίζουσα καὶ ἀχρηστολογοῦσα, καὶ σχήματα ἄχρηστα ποιοῦσα, ἐποίησε γελάσαι· καὶ ἰαμβεῖον εἴρηται, ἀπὸ τοῦ ἰαμβίζειν τὸ ὑβρίζειν, ἀπὸ τοῦ ἰὸν βάζειν, ἢ ὡς βέλη βάλλειν τὰ λεγόμενα· ἢ ἀπὸ τῆς εὑρούσης γυναικὸς βάκχης τινός, Ἰάμβης καλουμένης· ἢ ἀπὸ τοῦ ἴαν βάζειν. ἡ γὰρ κοινὴ τῶν ἀνθρώπων φωνὴ ἴα καλεῖται.

Ἰαμενός, ὄνομα κύριον. Ἀρίσταρχος ψιλοῖ· ὁ δὲ Ἀσκαλωνίτης φησίν· ἐὰν μὲν ἀπὸ τῆς ἰάσεως, ψιλοῦται· ἐὰν δὲ ἀπὸ τῆς ὁρμῆς, δασύνεται. ἄμεινον Ἀρίσταρχος.

Ἰαίνετο] Αἶψα δ' ἰαίνετο κῆρ: — ἀντὶ τοῦ διεχεῖτο. καὶ ἐπὶ τῆς ψυχικῆς διαχύσεως· καὶ ἰάνθη, τὸ διεχύθη, εὐφράνθη, ἐχάρη. ἀπὸ τοῦ ἰαίνω, ἰανῶ, ἴαμαι, ἰάνθην· — καὶ ἰδοῦσα θυμὸν ἰάνθη: — τάχα δὲ καὶ τὰ ἄνθη, ἐπεὶ τὴν ψυχὴν ἰαίνει καὶ διαχεῖ τέρποντα τὴν ὄψιν. σημαίνει καὶ τὸ ἐθερμαίνετο, ὡς τό, — ἰαίνετο δ' ὕδωρ.

Ἰαμβοφάγος, λοίδορος· ἐπειδὴ ἴαμβος ἔμμετρός ἐστι λοιδορία. ὁ φαγὼν οὖν ἐν τῷ στόματι, ὁ ἔχων τοὺς ἰάμβους, τουτέστιν ὁ ἔχων διὰ στόματος τὴν φιλολοιδορίαν. μέμνηται Δημοσθένης ἐν τῷ περὶ τοῦ στεφάνου, τάχα καὶ παραπαίζων εἰς τὸ Αἰσχίνην, ὅτι τὰ ἰαμβεῖα τῆς τραγῳδίας ἔλεγεν, ὑποκριτὴς ὤν. καὶ ἰαμβίζειν, τὸ λοιδορεῖν καὶ κακολογεῖν· ἀπὸ Ἰάμβης τῆς λοιδόρου.

Ἰαπετός] παρὰ τὸ ἴπτω τὸ βλάπτω, ἰπετός· καὶ πλεονασμῷ τοῦ α, Ἰαπετός. τὸ δὲ ἴπτω, παρὰ τὸ ἰός, ὃ σημαίνει τὸ βέλος· ἢ παρὰ τὸ ἵημι τὸ πέμπω, γίνεται ἰάπτω· ἢ τὸ ἰάπτω κατὰ πλεονασμὸν τοῦ α, ἀπὸ τοῦ ἴπτω. πᾶν ῥῆμα εἰς πτω λῆγον βαρύνεται· εἰ μὴ προκατάρχοι ὄνομα. ἢ διαστολὴ γένοιτο σημαινομένου, σκάπτω, θάπτω· (τὸ γὰρ ῥιπτῶ, Ἀττικὸν ἢ ποιητικόν) νίπτω, τύπτω· τὸ δὲ τυπτήσω, ὡς ἀπὸ περισπωμένου. πρόσκειται, εἰ μὴ προκατάρχοι ὄνομα· διὰ τὸ ἄβλεπτος, ἀβλεπτῶ· ἄπεπτος, ἀπεπτῶ· ἀλείπτης, φιλαλειπτῶ. 464
ἢ διαστολὴ γένοιτο σημαινομένου· διὰ τὸ ὀπτῶ, πρὸς ἀντιδιαστολὴν τοῦ ὄπτω.

* Ἰατροτέχνης, ὁ ἰατρὸς, παρὰ τὸ τέχνη καὶ ἰατρός.

Ἴαψεν, ἔβλαψεν· ἀόριστος πρῶτος· τὸ θέμα, ἰάπτω· ὁ μέλλων, ἰάψω· καὶ τὰ λοιπὰ δῆλα. παρὰ τὸ ἰός, ἰάπτω· ἀπὸ μεταφορᾶς· ὅς ἐστι βλαπτικὸς χαλκοῦ καὶ σιδήρου· ἐσθίει γὰρ αὐτά. τὸ δὲ ῥῆμα τοῦτο ποιητικόν· ὁ ἐνεστὼς μόνος εὑρίσκεται· ὁ γὰρ ἀόριστος ἀπὸ τοῦ ἴπτω γέγονε κατὰ πλεονασμὸν τοῦ α, ὡς ἐν ἑτέρῳ λέγει ὁ ποιητής, — μέγα δ' ἴψαο λαὸν Ἀχαιῶν: — ἐκ τοῦ ἴπτω ἴψω· ὁ μέσος ἀόριστος παθητικὸς, ἰψάμην· ἴψαο, Ἰωνικῶς μόνως λεχθέν.

Ἴασος] παρὰ τὸ ἰάω ἰῶ, ὁ μέλλων, ἰάσω· ὁ μέσος μέλλων, ἰάσομαι· ὅθεν καὶ τὸ ἴασαι προστακτικόν. τούτου δὲ ἐνεργητικὸν οὐχ εὑρήσεις ἐν χρήσει. παρὰ τὸν ἰάσω οὖν μέλλοντα γίνεται Ἴασος, καὶ Ἰάσων. τινὲς δὲ λέγουσι παρὰ τὴν ἴασιν· οἷστισιν ἀντίκειται ἡ κλίσις· εἰ γὰρ παρὰ τὴν ἴασιν, ὤφειλε φυλάττειν τὸ ω κατὰ τὴν γενικὴν ὡς παρώνυμον, θεός, Θέων Θέωνος· τρυφή, Τρύφων Τρύφωνος. εἰ οὖν οὐ φυλάττει τὸ ω, οὐκ ἔστι παρώνυμον. ἀλλὰ λέγομεν, ὅτι, ἐπειδὴ ἔχει τὸ α ἐκτεταμένον, τούτου χάριν συστέλλεται, ὡς Μαχάων Μαχάονος. κρεῖττον δέ ἐστιν εἰπεῖν, ὅτι παρὰ τὸν ἰάσω μέλλοντα γίνεται Ἰάσων Ἰάσονος, ὡς φιλήσω, Φιλήμων Φιλήμονος. πολλὰ γὰρ εἰσὶν ἀπὸ μελλόντων γινόμενα ὀνόματα συστέλλοντα τὸ ω κατὰ τὴν γενικήν, οἷον, μνήσω, μνήμων μνήμονος.

Ἰατρική, ἰατική τις οὖσα· παρὰ τὸ ἰᾶσθαι, πλεονασμῷ τοῦ ρ.

Ἰαχῶ, τὸ βοῶ· ἐκ τοῦ ἰαχή· τοῦτο ἀπὸ τοῦ ἴα, ὃ σημαίνει τὴν φωνήν· ἀπὸ τοῦ ἐπὶ πᾶσι τὴν ἰαχὴν ἱέναι.

Ἰαύω· τὸ κοιμῶμαι· παρὰ τὸ αὔω, πλεονασμῷ τοῦ ι· ἢ παρὰ τὸν ἴον, ὃ δηλοῖ τὸν μόνον, γίνεται ἰύω τὸ μονάζω· καὶ πλεονασμῷ τοῦ α, ἰαύω· καὶ γὰρ (φησὶν) ἡσυχάζει τὸν καθεύδοντα ὁ βίος· Ὦρος. ὁ δὲ Ἡρωδιανὸς λέγει παρὰ τὸ αὔω· τούτου ὁ ἀόριστος, αὖσα· καὶ διαλύσει καὶ τροπῇ τοῦ υ εἰς ε, γίνεται ἄεσα· οἷον, Πολλὰς γὰρ δὴ νύκτας ἀεικελίῳ ἐνὶ κοίτῃ Ἄεσα: — καὶ τὸ πληθυντικὸν, ἀέσαμεν, ὥσπερ καὶ τὸ αὔξεται, ἀέξεται. — ἀΰπνους νύκτας ἴαυον: — διὰ νυκτὸς ἄγρυπνος διετέλουν, Ἰλιάδος ι'. καὶ, Τῇ παριαύων τερπέσθω: — ἀντὶ τοῦ συναναπαυόμενος, συγκαθεύδων.

Ἶβις, ὄρνεον ὀφιοφάγον· καὶ ἶβιξ εἶδος ὀρνέου κρακτικοῦ· ἐξ οὗ Ἴβυκος ὄνομα κύριον· καὶ ἰβυκηνίσαι· ὅπερ κατὰ μεταφορὰν λέγεται βουκηνίσαι.

Ἴβηρ, πόθεν; ἐθνικόν ἐστι, καὶ παραγωγὴν οὐκ ἔχει. τινὲς δὲ λέγουσιν αὐτὸ παράγεσθαι παρὰ τὸ ἵμερος, ὃ σημαίνει τὴν ἐπιθυμίαν.

Ἴγδη, ἡ θυεία, ἔνθα μίσγομεν τὰ ἀρτύματα· παρὰ τὸ μίσγειν τὰ θύη· ἀπέβαλε τὸ μ, ὡς τὸ μία, ἴα. ἔστι δὲ καὶ εἶδος ὀρχήσεως ἰγδίσματα, ἐν ᾗ ἐλύγιζον τὴν ὀσφῦν ἐμφερῶς τῷ δοίδυκι.

Ἰγνύη, ἀπὸ τοῦ τὴν καμπὴν ἱκνεῖσθαι τῶν γονάτων. ἰγνύαι, τὰ ὄπισθεν τῶν γονάτων· ἢ ὅτι αἰτία ἡμῖν ἐστι τοῦ ἱκνεῖσθαι καὶ βαδίζειν. ἢ διὰ τὸ ἥκειν ἐν ταῖς κάμψεσι καὶ συνικνεῖσθαι. ἢ ἡ τὸ γόνυ συνέχουσα γαστροκνήμη. λέγεται καὶ ἰγνύς· ὅθεν καὶ ταῖς ἰγνύσι, καὶ ταῖς ἰγνύαις.

465 Ἴγνης] παρὰ τὸ γνής γνητός, μετὰ τῆς ι ἀντωνυμίας, γίνεται ἴγνης.

Ἰδέ] τὸ ἠμέν, ἠδέ, ἰδέ, ἅ εἰσιν ἀντὶ τοῦ καὶ, οὐκ εἰσὶ πλεοναζόμενα, ἀπὸ τοῦ μὲν καὶ δὲ, ἀλλὰ θεματικά εἰσι. πρὸς δὲ τὸ μέτρον γίνεται ἠδέ καὶ ἰδέ· ἐγὼ δὲ εὗρον· οὗτοι σύνδεσμοι εἰσίν· ὥσπερ δὲ πλεονάζει τὸ η ἐν πολλαῖς λέξεσιν, οὕτω καὶ ἐπὶ τοῦ μὲν καὶ δὲ παραπληρωματικοῦ, ἠμέν, ἠδέ.

Ἴδας, ὄνομα κύριον· παρὰ τὸ Ἴδη, οἱονεὶ ὁ μέγας ὥσπερ ἡ Ἴδη. Τὰ εἰς δας δισύλλαβα, εἰ μὲν περιττοσυλλάβως κλίνονται, διφθόγγῳ παραλήγεται, οἷον Φείδας, Φείδαντος· Οἴδας, οἴδαντος· εἰ δὲ ἰσοσυλλάβως, ἐνὶ φωνήεντι, οἷον Λήδας, λήδου· Μίδας, μίδου· τὸ γὰρ διὰ τοῦ ντ κλινόμενον, Μείδας μείδαντος, διὰ διφθόγγου. οὕτως οὖν καὶ Ἴδας ἴδου· ὅθεν καὶ Ἀντίμαχος ἥμαρτεν εἰπὼν διὰ τοῦ ι, Ἴδαντος κούρη.

Ἰδάλιμον] Ἡσίοδος, Καύματος ἰδαλίμου: — τοῦ ἱδροῦν ποιοῦντος. ἢ τοῦ διαυγοῦς καὶ καθαροῦ· ἐν γὰρ τῷ χειμῶνι καὶ ἡ δύναμις τοῦ ἡλίου ἀσθενεστέρα ἐστί· καὶ ῥῆμα ἰδίω τὸ ἱδρῶ· ἐξ οὗ γίνεται ἴδιμος· καὶ πλεονασμῷ τῆς αλ συλλαβῆς, ἰδάλιμος.

Ἰδαῖος, ὄνομα κύριον κήρυκος. ἀπὸ τοῦ Ἴδη, γίνεται Ἰδαῖος· οἱονεὶ ὁ εἰδὼς καὶ προγινώσκων τὰ κεκρυμμένα.

Ἰδαῖοι] Δάκτυλοι Ἰδαῖοι Κρηταιέες· οὓς ποτε νύμφη Ἀγχιάλη Δικταῖον ἀνὰ σπέος ἀμφοτέρησι Δραξαμένη γαίης Οἰαξίδος ἐβλάστησεν: — εἰσὶ δὲ τὸν ἀριθμὸν δέκα· διὸ καὶ Δάκτυλοι προσηγορεύθησαν, ἀπὸ τῶν ἡμετέρων δακτύλων· ἢ ἐπειδὴ ἐν τοῖς δακτύλοις ἐῤῥίφησαν. Ἰδαῖοι δὲ, ἐπειδὴ ἐν Ἴδῃ ὄρει τῆς Κρήτης ἐγεννήθησαν· ἢ ὅτι ἡ κόνις, ἣν ἔῤῥιψαν, ἐξ Ἴδης τοῦ ὄρους ἦν. Στησίμβροτος δὲ ἐν τῷ περὶ τελετῶν, Διὸς καὶ Ἴδης νύμφης αὐτοὺς λέγει· φησὶν ὅτι Ζεὺς ἐκέλευσε τὰς ἰδίας τροφοὺς λαβεῖν κόνιν καὶ ῥίψαι εἰς τοὐπίσω· καὶ ἐκ τῆς κόνεως γενέσθαι τοὺς Ἰδαίους δακτύλους. Ἀπολλώνιος Ἀργοναυτικοῖς.

Ἶδος. Ἡσίοδος, Ἴδει ἐν αἰνοτάτῳ ὅτε τε χρόα σείριος ἄζει: — τὸ ἶδος τοῦ ἴδους· καὶ γίνεται παρὰ τὸ ἰδίω τὸ ἱδρῶ. τοῦτο ἀπὸ τοῦ ὕδωρ, γίνεται ὑδρῶ, καὶ ἱδρῶ· καὶ πλεονασμῷ, ἱδρίω· εἶτα ἀποβολῇ τοῦ ρ, ἰδίω· ἐξ οὗ καὶ, Ἴδιον ὡς ἐνόησα: — ἶδος δὲ σημαίνει τὸ θέρος.

Ἰδουμαῖος ἐκλήθη ὁ ἀπόγονος τοῦ Ἡσαῦ. ἴδουμα γὰρ λέγεται εἶδος φακῆς ξανθῆς· ἧς (λέγουσιν) ἐπιθυμήσας φαγεῖν, ἀπέδοτο τὰ πρωτοτόκια αὐτοῦ. ἐκ τούτου ἐπωνομάσθησαν Ἰδουμαῖοι, οἱ τούτου ἀπόγονοι.

Ἰδέειν, ἀόριστος δεύτερος καὶ μέλλων. ὁ κανών· οἱ Ἴωνες ἐπὶ τῶν εἰς ειν ἀπαρεμφάτων, πλεονάζοντες τὸ ε, διὰ τοῦ εειν προφέρουσι, θανεῖν, θανέειν.

Ἴδη, ὄρος ἐστὶν ὑψηλόν· γίνεται ἀπὸ τοῦ ἰδεῖν· ὅθεν ἐστὶν ἅπαντα θεωρεῖν τὰ μήκοθεν. γράφεται διὰ τοῦ ι· τὰ γὰρ εἰς δη βαρύτονα οὐ θέλει διφθόγγῳ παραλήγεσθαι, κνίδη, (ἔστι δὲ βοτάνη στυπτική) Σίδη, ὄνομα πόλεως· ἔδη, (σημαίνει δὲ τὸν δεσμόν) κράδη, σημαίνει τὴν συκῆν. πρόσκειται, βαρύτονα, διὰ τὸ σπουδή καὶ 466
αὐδή. πᾶν δὲ σύμφυτον ὄρος Ἴδη καλεῖται.

Ἴδηθεν, ἐπίῤῥημά ἐστι τοπικόν· ἐπὶ δὲ τοῦ, Ἴδηθεν μεδέων: — οὐδὲν πλέον σημαίνει ἢ ὁ τῆς Ἴδης βασιλεύς· ἔνια γὰρ ὁ ποιητὴς τῶν ἐκ τόπου ἐπιῤῥημάτων ἀντὶ γενικῆς συντάσσει πτώσεως.

Ἴδηαι, ὑποτακτικὸν παθητικὸν, μέσου ἀορίστου δευτέρου. ὁ κανών· οἱ Ἴωνες, ἀποβάλλοντες τὸ τ τοῦ τρίτου προσώπου, δεύτερον ποιοῦσιν, ὡς τὸ, κέλεαί με· οὕτως ἴδηται, ἴδηαι.

Ἰδιώτης, ὁ πολίτης λέγεται· καὶ ὁ ἄπειρος, καὶ ὁ ἴδιος.

Ἰδιαίτερον, ἰδικώτερον.

Ἴδμεν] Ἴδμεν γὰρ οὐδὲν τρανές: — ἀντὶ τοῦ ἐπιστάμεθα. ῥῆμα ἐνεστῶτος τῶν εἰς μι, συζυγίας πρώτης. ἐκ τοῦ ἴσημι, ἡ μετοχὴ, ἴσας· καὶ ὤφειλεν ὀξύνεσθαι, ὡς ἱστάς· ἀλλὰ συνεξηκολούθησε ταῖς δισυλλάβοις μετοχαῖς, τῷ σχίσας, πρίσας, κτίσας· αἱ γὰρ εἰς ας μετοχαὶ δισύλλαβοι

τῷ ι παραληγόμεναι βαρύνονται. ἴσημι οὖν· καὶ τὸ πληθυντικὸν, ἴσαμεν· καὶ συγκοπῇ, ἴσμεν· καὶ τροπῇ τοῦ σ εἰς δ, ἴδμεν. γίνεται καὶ ἄλλως· ἐκ τοῦ εἴδω τὸ γινώσκω· ὁ μέλλων, εἴσω, ἴς· καὶ νῆϊς, ὁ ἀμαθὴς καὶ ἄπειρος· ὁ δεύτερος ἀόριστος, ἴδον, ἴδομεν· καὶ συγκοπῇ, ἴδμεν. ἢ ἐκ τοῦ εἴδω, ὁ μέσος παρακείμενος, οἶδα· τὸ πληθυντικὸν, οἴδαμεν· συγκοπῇ, οἴδμεν· καὶ ἀποβολῇ τοῦ ο, ἴδμεν.

Ἰδνῶ] ἰδνωθεὶς, ἐπιστραφεὶς, καμφθεὶς, οἷον τὸ ἰνίον δονηθείς. ἀπὸ τοῦ ἰδνῶ τὸ ἀποστρέφομαι· παρὰ τὸ ἵζω, οὗ παράγωγον ἰζάνω, τοῦ ζ τραπέντος εἰς δ· καὶ Δωρικῷ πλεονασμῷ τοῦ ν, γίνεται ἰδνῶ, ὡς ἀλαπάζω, ἀλαπαδνῶ.

Ἴδρις, ὁ ἔμπειρος. ἀπὸ τοῦ εἴδω ῥήματος, ῥηματικὸν ὄνομα εἶδις· ἀποβολῇ τοῦ ε, ἴδις· καὶ πλεονασμῷ τοῦ ρ, ἴδρις· καὶ ἄϊδρις, ὁ ἄπειρος.

Ἴδριας, σοφοὺς, ἐπιστήμονας, ἐμπείρους.

Ἱδρύω] ἐκ τοῦ ἵζω τὸ καθίζω, γίνεται ἵδω, τροπῇ τοῦ ζ εἰς δ Αἰολικῶς, ὡς δυγὸς, ζυγός· καὶ κατὰ παραγωγὴν, ἰδύω· καὶ πλεονασμῷ, ἱδρύω. τὸ ι πρὸ τοῦ δ ψιλοῦται, χωρὶς εἰ μὴ ὑπὸ τὸ ρ μακρὸν, ὡς τὸ ἱδρώς· ἱδρύω· καὶ ἵδρυε, ἀντὶ τοῦ καθέζεσθαι κέλευε. τὸ δὲ ἴδρις, οὐκ ἔχει τὸ ρ μετὰ φύσει μακροῦ, ὡς τὸ, Γέρων μὲν εἰμὶ, καὶ κακῶν πολλῶν ἴδρις.

Ἵδρυσις, ἑδραία ἀσφάλεια.

Ἱδρώς] ἀπὸ τοῦ ἰδίω τὸ κοπιῶ, γίνεται ἰδίως· καὶ συγκοπῇ, ἰδώς· καὶ πλεονασμῷ τοῦ ρ, ἱδρώς. ἢ παρὰ τὸ ὕδωρ, ὑδαρός· καὶ συγκοπῇ καὶ τροπῇ τοῦ υ εἰς ι, ἱδρώς. ἡ αἰτιατικὴ, ἱδρῶτα· καὶ συγκοπῇ, ἱδρῶ· Ἱδρῶ ἀπεψύχοντο: — ἄνευ τοῦ ι· εἰ δὲ δοτικὴ, μετὰ τοῦ ι. ἡ ι συλλαβὴ, εἴτε κατ' ἀρχὴν λέξεως εἴτε κατὰ τὸ μέσον, ἔχουσα μεθ' ἑαυτῆς δύο σύμφωνα ἐν ἁπλῇ καὶ ἀκινήτῳ λέξει, ὧν τὸ μὲν δεύτερον ἀμετάβολον, τὸ δὲ ἡγούμενον καθ' ἓν ἄφωνόν ἐστι, διὰ τοῦ ι γράφεται· οἷον, ἱδρώς, Ἰγνάτιος, καταρχάς· [τὸ] δὲ τίγρις, τίτλος, κατὰ τὸ μέσον. τὰ εἰς ως, ἔχοντα τὴν γενικὴν ἢ εἰς τος, ἢ διὰ καθαροῦ τοῦ ος, ἢ κατὰ ἀποβολὴν τοῦ σ, διὰ τοῦ ω μεγάλου γράφεται. εἰς τος, ὡς ἱδρώς, ἱδρῶτος· διὰ καθαροῦ τοῦ ος, ὡς ἥρως, ἥρωος· κατὰ ἀποβολὴν τοῦ σ, ὡς Μενέλεως, Μενέλεω.

467 Ἰέναι, παραγενέσθαι. ἐκ τοῦ ἵημι τὸ πορεύομαι, τὸ πληθυντικὸν, ἵεμεν· καὶ τὸ ἀπαρέμφατον, ἰέναι, ὡς τίθεμεν, τιθέναι. ἢ ἐκ τοῦ ἵημι, ὁ παρατατικὸς, ἵην· ἡ μετοχὴ, ἱείς, ἱέντος· καὶ τὸ ἀπαρέμφατον, ἱέναι. ἵημι σημαίνει τρία· ἵημι τὸ πέμπω, ὅπερ καὶ δασύνεται· τὸ πορεύομαι, καὶ ψιλοῦται· ὅπερ ἀπὸ τοῦ ἔω τὸ πορεύομαι, ἢ ἀπὸ τοῦ ἰῶ περισπωμένου γίνεται. καὶ ἵημι τὸ ἐφίεμαι· ὅθεν καὶ ἵμερος ἡ ἐπιθυμία. τὸ δὲ ἶμι, ἀπὸ τοῦ ἵημι γίνεται κατὰ συγκοπὴν τοῦ η. ἔστιν οὖν εἶμι τὸ πορεύομαι, διὰ τῆς ει διφθόγγου, καὶ διὰ τοῦ ι· καὶ τὰ μὲν ἑνικὰ, διὰ διφθόγγου· οἷον, εἶμι, εἶς, εἶσι· τὰ δὲ δυϊκὰ καὶ τὰ πληθυντικὰ, ἀπὸ τοῦ ἶμι τοῦ διὰ τοῦ ι, οἷον, ἴτον, ἴτον· ἴμεν, ἴτε, ἶσι· καὶ πλεονασμῷ τοῦ α, ἴασι. ζήτει εἰς τὸ εἶμι. — καί τ' ἀγεληδὸν ἴασιν: — οὕτω Ζηνόδοτος, καὶ πάντες οὓς ἀνέγνων· τὸ δὲ ξυνιᾶσιν, ἀπὸ τοῦ ἵημι· τὸ τρίτον τῶν πληθυντικῶν, ἱεῖσι· Ἰωνικῶς, ἱέασι· καὶ κράσει, ἱᾶσι. εἶμι τὸ πορεύομαι· τὸ πληθυντικὸν, ἴμεν· τὸ ἀπαρέμφατον, ἴναι διὰ τοῦ ι, ἵνα φυλάξῃ τὴν παραλήγουσαν τοῦ πρώτου προσώπου τῶν πληθυντικῶν· καὶ Ἀττικῶς, ἴμεναι· καὶ Ἰωνικῶς, ἴμεν, ὡς τὸ εἶναι, ἔμμεναι, ἔμεν. [ποταμοὺς δ' ἔτρεψε νέεσθαι Καῤῥόον,] ᾗπερ πρόσθεν ἵεν καλλίῤῥοον ὕδωρ: — ἀντὶ τοῦ ἀφίεσαν, Ἰλιάδος μ'. ψιλοῦται τὸ ἵεν, καὶ ἑνικῶς, ἐπὶ τοῦ ὕδατος· εἰ δὲ δασύνεται, ἀντὶ τοῦ ἵεσαν. τινὲς δὲ οὕτω φέρουσι τὴν γραφὴν τοῦ ἵεν, ὡς τίθεν· καὶ γίνεται ἀμφίβολον, πότερον αὐτοὶ οἱ ποταμοὶ ἵεν, ἵνα ἐκ τοῦ ἵεσαν συγκοπῇ ὑπάρχῃ, ὡς ἀπὸ τοῦ ἐτίθεσαν, τὸ ἐτίθεν· καὶ δέον δασύνεσθαι. εἰ δὲ ἑνικὸν εἴη τὸ ἵεν ἀντὶ τοῦ ἐπορεύετο, ψιλοῦται, ὁμοίως τῷ, ἆσσον ἴεν.

Ἵεντο, προεθυμοῦντο. ἀπὸ τοῦ ἵημι τὸ ἐπιθυμῶ, τὸ παθητικὸν, ἵεμαι· ὅθεν ἡ μετοχὴ, ἱέμενος, ἀντὶ τοῦ ἐπιθυμῶν· — καὶ, — Οἴκαδε ἱεμένων: — ἐπὶ μὲν τοῦ πέμπω, δασύνεται· ἐπὶ δὲ τοῦ πορεύομαι, ψιλοῦται. ἵεμαι οὖν· ὁ παρατατικὸς, ἱέμην· τὸ τρίτον τῶν πληθυντικῶν, ἵεντο. — ἐνίετε θεσπιδαὲς πῦρ: — ἀντὶ τοῦ ἐμβάλλετε, προπέμπετε. ἐκ τοῦ ἵημι τὸ πέμπω, (ὅθεν καὶ ἀφίημι) ὁ παρατατικὸς, ἵην· ἡ μετοχὴ, ἱείς, ἱέντος· τὸ προςτακτικὸν, ἵεθι, ἱέτω· ἵετε, καὶ ἐνίετε.

Ἴε· ἐκ τοῦ ἴω τοῦ διὰ τοῦ ἰῶτα. πόθεν δῆλον; δείκνυται γὰρ ἐν τῷ εἶμι. ἴω οὖν· καὶ ὁ παρατατικὸς, ἴον, ἴες, ἴε.

Ἵει· καὶ μετὰ τῆς πρὸ, προΐει, τὸ προέπεμψεν. ἔστι τὸ ῥῆμα ἱέω ἱῶ, πρώτης τῶν περισπωμένων· ὁ παρατατικὸς, ἵεον, ἵουν· ἵεες, ἵεις· καὶ ἵεε, ἵει, καὶ προΐει. — κατὰ λαιμὸν ἱείη· ὡς ἀπὸ τοῦ τίθημι, τιθείη, οὕτως ἀπὸ τοῦ ἵημι, ἱείη, τὸ ἀπιέναι.

Ἵετο, ἀντὶ τοῦ ἐφίετο· καὶ γίνεται παρὰ τὸ ἵημι τὸ ἐπιθυμῶ. Ἵετο γὰρ βαλέειν, ἀντὶ τοῦ προεθυμεῖτο. ἵημι, ἵεμαι, ἱέμην, ἵετο· ἀπὸ δὲ τοῦ ὦ, ἰῶ ἵημι, γράφεται διὰ τοῦ ι, ὡς ἀναδιπλασιασμός.

Ἰοῦσα] Ἀλλ' εἰς οἶκον ἰοῦσα: — ἀντὶ τοῦ πορευθεῖσα. ἰὼν ἐστὶ μετοχὴ δευτέρου ἀορίστου· κλίνεται ἰόντος· τὸ θηλυκὸν, ἰοῦσα· τὸ οὐδέτερον, ἰόν.

Ἴησιν] Ἰλιάδος ι', — κεῖνον μὲν ἐάσομεν ἤ κεν ἴησιν, Ἦ κε μένῃ: — ἀπέλθῃ, ἢ παραγένηται.

Ἱέραξ, παρὰ τὸ ἵεσθαι, ἤγουν φέρεσθαι ἐν τῷ ἀέρι ῥαδίως. γίνεται δὲ κατὰ κρᾶσιν, ἵραξ· Ὧδ' ἴρηξ προςέειπεν ἀηδόνα, Ἡσίοδος. καὶ γὰρ τὸ ι εἰ μὲν ἐπιφέρει τὸ ε μόνον, εἰς τὸ ι γίνεται ἡ κρᾶσις· οἷον ἱερεύς, 468 ἱρεύς, κράσει τοῦ ι καὶ ε εἰς ι· ἱέραξ, ἵραξ· ἱερόν, ἱρόν· ἱερά, ἱρά· εἰ δὲ ἐπιφέρει τὸ ει ἐν διφθόγγῳ, ἡ ει δίφθογγος ἐπικρατεῖ, οἷον ὑγίεια, ὑγεία.

Ἱερεύς, παρὰ τὸ ἵημι τὸ πέμπω, ὁ τὰς θυσίας ἀναπέμπων τῷ θεῷ· ἢ παρὰ τὸ ἱερεύω τὸ θύω· ἢ παρὰ τὸ ἱερός.

Ἱερός, ὁ εἰς τιμὴν θεοῦ ἀποτετμημένος τόπος. παρὰ τὸ ἰῶ, (ἀφ' οὗ τὸ ἀφίω σύνθετον) γίνεται ῥηματικὸν ὄνομα ἱερός, ὡς τήκω τακερός.

Ἱερόν, σημαίνει τρία· τόπον ἀποκείμενον τῷ θεῷ, ὡς τὸ, Ἀνέβησαν εἰς τὸ ἱερὸν προσεύξασθαι: — καὶ τὸ ὀστοῦν, ὡς τὸ, ἱερὸν ὀστοῦν: — καὶ τὸ μέγα, ὡς τὸ, ἱερὸν ἰχθῦν: — ἱερὸς λέγεται καὶ ὁ μάντις, παρὰ τὸ ἱερολογεῖν καὶ προσημαίνειν.

Ἱερεύς· ἐπὶ μὲν τοῦ ψιλῶς προεστῶτος τῆς θεραπείας τοῦ θεοῦ, Χρύσης ἱερεὺς Ἀπόλλωνος: — ἐπὶ δὲ τοῦ εἴδους τοῦ μάντεως τοῦ διὰ τῶν θυσιῶν μαντευομένου, Ἀλλ' ἄγε δή τινα μάντιν ἐρείομεν ἢ ἱερῆα.

Ἱερὸν ἰχθῦν: — τινὲς παρὰ τὸ διαίνω τὸ βρέχω, διερός· καὶ ἱερόν, τὸ ἀεὶ ἐν ὕδατι βρεχόμενον, κατὰ ἀποβολὴν τοῦ δ· οἱ δὲ, παρὰ τὸ δίω τὸ διώκω, διερός, καὶ ἱερός, ὁ ταχὺς καὶ διωκτικός. ἢ τὸν μέγαν· τὸ δὲ μέγα ἱερὸν ἔλεγον οἱ παλαιοί.

Ἱερὸν ὀστοῦν, τὸ ἄκρον τῆς ὀσφύος. οὕτω γὰρ κέκληται, ὅτι μέγα ἐστίν· (ἢ ὅτι κύριόν ἐστι πάθος, παρ' ὅσον ἀναιρεῖ) ἢ ὅτι ἱερολογεῖται, ἢ ἱερουργεῖται τοῖς θεοῖς. Μένανδρος, Οἱ δὲ τὴν ὀσφῦν ἄκραν θύσαντες: — ἢ

ὅτι (φησὶν) ἡ ὀσφῦς πρώτη φύεται τῶν ζώων, ἤγουν τῶν ἱερείων.

Ἱερὸν ἦμαρ, σημαίνει τὸν πρὸ τῆς μεσημβρίας καιρόν, τουτέστιν ἀπὸ πρωῒ ἕως δείλης· κατὰ τοῦτον γὰρ τὸν καιρὸν ἔθυον τοῖς ὀλυμπίοις θεοῖς· ἀφ' οὗ ἔσχε τοὔνομα παρὰ τὸ ἱερεύειν· ἀπὸ δὲ μεσημβρίας ἔθυον τοῖς καταχθονίοις.

Ἱερᾶσθαι, ἱερουργεῖν· καὶ Θουκυδίδης, Κατὰ δή τινα παλαιὰν αἰτίαν οὐ καθαροὺς ὄντας ἱερῶσθαι: — σημαίνει τὸ ἱεροὺς νομισθῆναι, καὶ οἷον καθιερῶσθαι.

Ἱερεῖον, τὸ πρόβατον. εἴρηται διὰ τὸ ἵεσθαι (ἤγουν φέρειν) τὸ ἔριον· λοιπὸν ἱερεύς, ὁ τὸ ἱερεῖον θύων.

Ἱερώσυνα, τὰ εἰωθότα δίδοσθαι ἐξαίρετα τοῖς ἱερεῦσιν.

Ἱεράτω, κατὰ νόμον ὀργιαζέτω καὶ θυέτω· ὀργιῶνες γὰρ οἱ θῦται. ἱεράω ἱερῶ· καὶ τὸ προστακτικὸν, ἱεραέτω.

Ἱερὸν τέλος, τὸ μέγα τάγμα λέγουσιν οἱ γλωσσογράφοι, ὡς ἱερὸν ἰχθῦν τὸν μέγαν. ἱερὸν μὲν οὖν τέλος, τὸ θεῖον τάγμα· ἱερὸν δὲ ἰχθῦν, τὸν ἄνετον, ὡς ἱερὸν βοῦν, ἀπὸ τοῦ ἵεσθαι.

Ἱερώνυμος, στρατηγὸς Ἀθηναίων.

Ἱερομνήμονες, οἱ συνθύοντες εἰς τὸ συνέδριον τῶν Ἀμφικτυόνων ἐξ ἑκάστης πόλεως· ὠνομάσθησαν δὲ παρὰ τὸ μνημονεύειν τῶν ἱερῶν. Ἀθηναῖοι ἑορτὴν Διὸς ἄγουσι καὶ Ἥρας, οὕτω καλοῦντες. ἱερὰ δέ εἰσι τὰ Ἀμφικτυονικὰ δόγματα· καὶ ἱερὸν τὸ συνέδριον τὸ τῶν Ἀμφικτυόνων.

Ἱεροποιοί] κληρωτοὶ ἄρχοντές εἰσι δέκα τὸν ἀριθμὸν, οἳ 469 τά τε μαντεύματα ἱεροθετοῦσι, κἄν τι καλλιερῆσαι δέῃ, καλλιεροῦσι μετὰ τῶν μάντεων, καὶ θυσίας τὰς νομιζομένας ἐπιτελοῦσι. καὶ τὰς πενταετηρίδας ἁπάσας διοικοῦσι, πλὴν παναθηναίων. ταῦτα δὲ Ἀριστοτέλης ἱστορεῖ ἐν τῇ Ἀθηναίων πολιτείᾳ. Δημοσθένης ἐν Φιλιππικῶν τετάρτῳ, Οἱ λογοποιοὶ τὰς πομπὰς πομπεύουσιν ὑμῖν μετὰ τῶν ἱεροποιῶν: — μὴ ἀγνοῶμεν δὲ, ὅτι καὶ ἄλλοι εἰσὶν ἱεροποιοὶ τῶν σεμνῶν θεῶν, τὸν ἀριθμὸν δέκα. Δημοσθένης ἐν τῷ κατὰ Μειδίου, Οὐ περιεῖδε ταῖς σεμναῖς θεαῖς ἱεροποιὸν αἱρεθέντα ἐξ Ἀθηναίων ἁπάντων, καὶ περὶ τὸν αὐτὸν καιρὸν καταρξάμενον: — Δείναρχος δὲ ἐν τῷ κατὰ Λυκούργου εὐθύνων φησὶ, Καὶ τὰς σεμνὰς θεὰς αἷς ἐκεῖνος ἱεροποιὸς καταστὰς δέκατος αὐτός.

Ἱερομηνία, ἱερὰ ἑορτὴ κατὰ μῆνα, ἡ ἐν τῷ μηνὶ ἱερὰ ἡμέρα.

Ἱερὰ συκῆ, οὕτω καλουμένη.

Ἱερὰ ὁδός, ὁδός τις ἦν ἡ εἰς Ἐλευσῖνα ἄγουσα, ἣν ἀπίασιν οἱ μύσται ἅλαδε.

Ἱεραὶ τριήρεις, αἵτινές εἰσι, Πάραλος, Σαλαμινία, Ἀντιγονίς, Δημητριάς. αὗται ἐπέμποντο ἐπὶ στρατηγοὺς καὶ τοιαύτας τινὰς χρείας.

Ἱερὸν πόλεμον· οὕτως ἔλεγον ὃν ἐπολέμησαν οἱ Λακεδαιμόνιοι πρὸς Φωκέας ὑπὲρ τοῦ ἐν Δελφοῖς ἱεροῦ. ἐβοήθησαν δὲ Φωκεῦσιν Ἀθηναῖοι, καὶ παρέδοσαν πάλιν τὸ ἱερόν.

Ἱερουσαλήμ. Σαλὴμ ἐλέγετο πρότερον ἡ πόλις· ἐλθὼν δὲ ὁ Χριστὸς εἰς αὐτὴν, ἐκλήθη Ἱερουσαλήμ.

Ἵζευ καὶ ἵζεο, ἀντὶ τοῦ καθέζου· χρόνου ἐνεστῶτος καὶ παρατατικοῦ. ἔστι δὲ τὸ κοινὸν, ἵζου· καὶ Ἰωνικῇ διαλύσει, ἵζεο· καὶ Δωρικῇ κράσει τοῦ ε καὶ ο εἰς τὴν ευ δίφθογγον, ἵζευ, ὡς Ἰδομενέος Ἰδομενεῦς. ἔστιν οὖν τὸ ῥῆμα ἵζω· καὶ ἐπὶ μὲν τοῦ ἐνεστῶτος, ἔστι φύσει μακρὸν τὸ ι· ἐπὶ δὲ τοῦ παρατατικοῦ, θέσει. δασύνεται· ἐκ τῆς συναλοιφῆς καθίζω.

Ἵζω, τὸ κάθημαι. Ὅμηρος, Νέστορα δ' αὐτόθι ἔφιζεν.

Ἰησοῦς, τὸ τοῦ Χριστοῦ ὄνομα· παρὰ τὸ ἰᾶσθαι εἰς τὸ σώζειν.

Ἴηλα, τὸ ἐδέσμευσα· ἀπὸ τοῦ εἰλῶ, ἐν ὑπερθέσει γίνεται ἰέλω· καὶ ἰῆλαι, τὸ ἐπικάμψαι, ἢ κατακλεῖσαι.

Ἰητήρ] ἐκ τοῦ ἰῶ ἰῶμαι, ἰητήρ, ὁ ἰώμενος.

Ἰήϊε] οἷον, Θαρσύνεσκον ἔπεσσιν Ἰήϊε κεκληγυῖαι· Ἔνθεν δὴ τόδε καλὸν ἐφύμνιον ἔπλετο Φοίβῳ, ἰήϊε. ὅτε (φησὶν) ἐτόξευσε τὸν δράκοντα, ἀνεφώνουν, Ἴη ἴη βέλος: — ἀφ' οὗ τὸ ἐφύμνιον τοῦτο ἐγένετο, Ἴη παῖ· ἢ τὸ διὰ χοροῦ ᾀδόμενον. Ἰήϊος δὲ καὶ ὁ Ἀπόλλων λέγεται, ὡς μὲν Δοῦρις, ὅτι ἐν ἀγκάλαις βαστάσασα τὸν ἥλιον ἡ Λητὼ, ἐνεκελεύσατο εἰποῦσα, Ἰήϊε παιῆον. ἔστιν οὖν τὸ ἰήϊος, ἐπίθετον Ἀπόλλωνος, ὁ τοξότης· ἀπὸ τοῦ ἵημι, παρὰ τὴν ἕσιν τῶν βελῶν, ἤτοι τὴν ἄφεσιν. τινὲς δὲ ψιλοῦσιν· ἐπεὶ ἰάσεως αἴτιος ὁ θεός. τὸ δὲ ἤϊε Φοῖβε, κατὰ ἀποβολὴν τοῦ ι γέγονεν· ὁ αὐτὸς γάρ ἐστι τῷ ἡλίῳ, ὅτι πανταχοῦ ἵησι τὴν ἀκτῖνα· Ὣς ῥα σὺ ἤϊε Φοῖβε: — Ἀρίσταρχος δασύνει· ἐπεὶ παρὰ τὸ ἵημι ἐγένετο. ἀπὸ γὰρ τῆς ἕσεως τῶν βελῶν ἐκλήθη ἥϊος· οἱ δὲ ψιλοῦσιν, ἀπὸ τῆς ἰάσεως. ἄμεινον δὲ ψιλοῦσθαι· τὸ γὰρ η πρὸ φωνήεντος ψιλοῦται. ἤϊος δὲ λέγεται ὁ τοξικὸς, παρὰ τὴν ἄφεσιν τῶν βελῶν.

Ἰθαγενής, ὁ γνήσιος καὶ αὐτόχθων, ὁ ἰθὺ καὶ ἀδιάστρο- 470 φον ἔχων τὸ γένος· καὶ ἰθαγενεῖς, οἱ γνήσιοι παῖδες, καὶ μὴ ἐκ παλλακίδος· καὶ οἱ γνήσιοι πολῖται, οἷον αὐθιγενεῖς τινὲς ὄντες, οἱ αὐτόθι γεγεννημένοι. Ἰθαγενέεσσι, γνησίοις τέκνοις καὶ καθαροῖς.

Ἴθακος, ὄνομα κύριον· ἀπὸ τῆς Ἰθάκης. λέγεται καὶ Ἰθακὸς τὸ ἐθνικὸν, καὶ Ἰθακήσιος. καὶ Ἰθάκη πόλις ἀπὸ Ἰθάκου τοῦ Ποσειδῶνος καὶ Ἀμφιμέλης.

Ἰθώμη, πόλις. ὡς τὸ, Ἰθώμην κλιμακόεσσαν: — Θώμη ἡ πόλις· πλεονασμῷ τοῦ ι, Ἰθώμη.

Ἰθὺ καὶ ἰθύς, σημαίνει τὸ ἐπ' εὐθείας. παρὰ τὸ ἰέναι γίνεται ἰθύς· ἀπὸ τοῦ ἰθύς, ἰθεῖα· καὶ ἰθείας δίκας· ἐπ' εὐθείας, ὀρθῶς.

Ἴθυσαν, ἐπ' εὐθείας ὥρμησαν. ἀπὸ τοῦ ἰθύς ἰθύω, καὶ ἰθύνω· σημαίνει τὸ ὁδηγῶ. Αὐτὴ δ' αὖτ' ἴθυνεν.

Ἱκάνω, σημαίνει ἐνταῦθα τὸ ἱκετεύω· Ἡμεῖς δ' ἱκάνομεν τὰ σὰ γούνατα: — σημαίνει καὶ τὸ παραγίνομαι, καὶ τὸ καταλαμβάνω· Ἦ μέγα πένθος Ἀχαιΐδα γαῖαν ἱκάνει.

Ἱκέτης] παρὰ τὸ ἵκεσθαι, ἱκέτης· ὅθεν καὶ ἱκανός· ὁ γὰρ ἰσχυρὸς εἰς πάντα δύναται παραγενέσθαι.

Ἰκμάς, ἡ ὑγρὰ σταγών· ἢ λιπαρότης. παρὰ τὸ ἵκω ἰκμάς.

Ἱκνοῦμαι] ἀπὸ τοῦ ἵκω τὸ ἱκετεύω καὶ παραγίνομαι, παράγωγον ἱκάνω· καὶ συγκοπῇ, ἱκνῶ, ἱκνοῦμαι, καὶ ἀφικνοῦμαι. τὸ δὲ ἱκάνω, ἀπὸ τοῦ ἷκον δευτέρου ἀορίστου, ὡς ἀπὸ τοῦ ἔφυγον, φυγάνω· καὶ πλεονασμῷ τοῦ γ, φυγγάνω.

Ἵκμενον] ἵκω, ἱκόμενον· καὶ συγκοπῇ, ἵκμενον· σημαίνει δὲ τὸν πορευτικόν· ἢ ὑγρόν, παρὰ τὴν ἰκμάδα.

Ἰκρία] πάντα τὰ ἁπλῶς μετέωρα ἰκρία λέγεται, διὰ τὸ εἰς ὕψος ἥκειν, οἱονεὶ ἱκήρια τινὰ ὄντα. ἢ τὰ σανιδώματα, διὰ τὸ δι' αὐτῶν ἱκνεῖσθαι.

Ἰκτῖνα, σημαίνει τὴν λεγομένην λούπην, παρὰ τὸ ἱκνοῦμαι. Πλάτων δὲ προπαροξυτόνως λέγει, ὡς παρὰ Ἀριστοφάνει, Ἴκτινα παντόφθαλμον ἅρπαγα τρέφων: — οὐ γάρ ἐστιν ἀπὸ τῆς ἰκτίν εὐθείας, ἀλλ' ἐκ τῆς ἴκτινος· ἧς ἡ γενικὴ, ἰκτίνου· ἡ αἰτιατικὴ, ἴκτινον· καὶ κατὰ μεταπλασμὸν, ἴκτινα, ὡς ἀλίτροχον, ἀλίτροχα. τὰ γὰρ διὰ τοῦ ινος προπαροξύτονα, μὴ ὄντα ἀπὸ ἁπλοῦ, ἔχοντα τὴν ει δίφθογγον, διὰ τοῦ ι γράφεται,

οἷον φήγινος, λίθινος, ξύλινος. οὕτως οὖν καὶ ἴκτινος. πρόσκειται, μὴ ὄντα ἀπὸ ἁπλοῦ, ἔχοντα τὴν ει δίφθογγον· διὰ τὸ ξένος ξεῖνος, εὔξεινος.

Ἰκόνιον, πόλις Λυκαονίας· ὁ πολίτης, Ἰκονιεύς. Ἰκόνιον, ἡ πόλις. γυναῖκα φασὶ κατοικεῖν τὸν τόπον παράνομον, ἣ τοὺς ἐπιξενουμένους ἐκέλευε συγγενέσθαι αὐτῇ· καὶ μετὰ τὴν συνουσίαν ἀνῄρει, ἵνα μὴ ἡ ἀσέλγεια αὐτῆς ἐπιγνωσθῇ· Περσέα δὲ τὸν Δανάης ἐπὶ τοῦ τόπου ἀφικόμενον, καὶ μέλλοντα ταῦτα πάσχειν, δείξαντα τὸ τῆς Γοργοῦς πρόσωπον ἀπολιθῶσαι αὐτήν· τὴν δὲ εἰκόνα ἐπὶ πολὺν χρόνον διαμεῖναι λιθίνην· ἀφ' ἧς αἰτίας καὶ τοὺς κατοικοῦντας τὴν πόλιν οὕτως ὠνόμασαν. γράφεται δὲ διὰ τοῦ ι· ἐπειδὴ εὑρέθη ἡ ἀρχὴ συστελλομένη παρὰ Μενάνδρῳ. γενομένου τοῦ ἐπὶ Δευκαλίωνος κατακλυσμοῦ, πάντες διεφθάρησαν. ἀναξηρανθείσης δὲ
471 τῆς γῆς, ὁ Ζεὺς ἐκέλευσε τῷ Προμηθεῖ καὶ τῇ Ἀθηνᾷ, εἴδωλα διαπλάσαι ἐκ τοῦ πηλοῦ· καὶ τοὺς ἀνέμους ἐμφυσῆσαι ἐκέλευσε, καὶ ζῶντα ἀποτελέσαι. διὰ τὸ οὖν τὰς εἰκόνας ἐκεῖσε γραφῆναι, ἐκλήθη Ἰκόνιον.

* Ἱμαντοπέδη, ἡ παγίς· ἀπὸ τοῦ ἱμὰς καὶ πέδη.

Ἵνα, σημαίνει τέσσαρα· τὸν αἰτιολογικὸν σύνδεσμον, ὡς τὸ, ἵνα γνώωσι καὶ οἵδε: — ἀντὶ τοῦ ὅπως μάθωσι καὶ οὗτοι. ἔστι καὶ ἀντὶ τοῦ ὅπου, ὡς τὸ, — ἵνα γάρ σφιν ἐπέφραδον ἠγερέεσθαι: — ἢ ἀντὶ τοῦ ἐκεῖ· ἐκεῖ γὰρ αὐτοὺς εἶπον συναθροισθῆναι, Ἰλιάδος κ'. ἔστι καὶ ἀντὶ τοῦ ἐάν, ὡς ἐν Ἰλιάδος ἦτα, — ἵνα μὴ ῥέξομεν ὧδε: — ἀντὶ τοῦ ἐὰν μὴ πράξωμεν οὕτως. σημαίνει καὶ τὴν δύναμιν, ὡς τὸ, Ἶνα κρατοῦντος ὤλεσεν θυμοφθόρου: — τοῦτο δέ ἐστιν ὄνομα πτώσεως αἰτιατικῆς. καὶ τὸ νεῦρον, ὡς τὸ, Ἶνα τάμεν διὰ πᾶσαν: —

Ἱνατί; ἀντὶ τοῦ διατί; Ἰστέον ὅτι τὸ Ἵνα σύνδεσμος ὑποτάσσει· ὅταν δὲ κεῖται ἀντὶ τοῦ ὅπου, οὐχ ὑποτάσσει. τὸ μέντοι ἵνα καὶ τὸ τί συντεθειμένα, γίνεται ἐπίῤῥημα ἐρωτήσεως, καὶ οὐχ ὑποτάσσει· ἐπὰν γὰρ εἰς τὸ ἵνα τὸ τί προσέλθῃ, μετάγεται εἰς παρῳχημένον, καὶ λύεται ἡ ὑποταγή.

Ἶνις, σημαίνει τὸν νέον υἱόν, τὸ βρέφος, ἢ τὸν ἀπόγονον. ἢ ἀπὸ τοῦ ἲς ἰνός, γίνεται παρώνυμον ἶνις· δύναμις γάρ εἰσι τῶν πατέρων οἱ υἱοί, καὶ τῶν υἱῶν οἱ πατέρες. ἢ ἀπὸ τοῦ ἰαίνειν γίνεται· καὶ γὰρ τὰ τέκνα τοὺς πατέρας εὐφραίνουσιν.

Ἰνώ] παρὰ τὸ ἲς ἰνός· ἢ παρὰ τὸ δύειν, Δυνώ· ἀποβολῇ τοῦ δέλτα, καὶ τροπῇ· καὶ γὰρ εἰς τὴν θάλασσαν ἔδυνεν ἡ Ἰνώ.

Ἰνωπός, ὄνομα ποταμοῦ. ἀπὸ τοῦ ἲς ἰνός, καὶ τοῦ ὄψ ὀπός, ὃ σημαίνει τὴν φωνὴν, γίνεται ἰνωπός, κατὰ ἔκτασιν τοῦ ο εἰς ω.

Ἰνδάλλω] ὥσπερ παρὰ τὸ ἄγω, γίνεται ἀγάλλω· καὶ ἴω τὸ πέμπω, ἰάλλω· οὕτω παρὰ τὸ εἴδω τὸ ὁμοιῶ, γίνεται ἰδάλλω, καὶ πλεονασμῷ τοῦ ν. γράφεται δὲ διὰ τοῦ ι· ἐπειδὴ κανών ἐστιν ὁ λέγων· ἐν τοῖς παραγώγοις εἰώθασι πολλάκις τὴν φύσει μακρὰν εἰς θέσει μεταβάλλειν· ὥςπέρ ἐστι τὸ πένης πενιχρός· λήβω, λαμβάνω· ἥδω, ἁνδάνω· δήκω, δαγκάνω· οὕτω καὶ παρὰ τὸ εἴδω, παράγωγον ἰνδάλλω· ἐξ οὗ καὶ ἴνδαλμα.

Ἴξαλος] — ἰξάλου αἰγός: — ἤτοι τελείου, ἢ πηδητικοῦ καὶ ὁρμητικοῦ· παρὰ τὸ ἱκνεῖσθαι. ἢ, ὡς ὁ Πορφύριος, λέγει τὸν τομίαν· συμβαίνει γὰρ πολλάκις τῶν ἀγρίων αἰγῶν τοὺς τελείους διωκομένους ἐν ταῖς παρατρίψεσιν ἀποβάλλειν τὰ γεννητικὰ μόρια. παρὰ τὸν ἴξω μέλλοντα γέγονεν ἴξαλος. ὡς ἀπὸ τοῦ ἄγω ἄξω, ἄξιος, οὕτως ἵκω ἴξω ἴξιος, καὶ ἴξαλος. Δεῖ δὲ γινώσκειν, ὅτι πολλάκις τὰ παράγωγα ἀλλάσσουσι τὸ πνεῦμα· καὶ ἀπὸ μὲν δασέος, γίνεται ψιλόν, ὡς τὸ ἅμα, ἅμυδις· ἥλιος, ἀπηλιώτης. οὕτως ἀπὸ τοῦ ἴξω, ἴξαλος.

Ἰξίων] ἀπὸ τοῦ ἵκω ἴξω, ἴξιος καὶ Ἰξίων, ὡς ὄφις ὄφιος, Ὀφίων.

Ἰξεύω· τὸ ἰῶτα, θέσει μακρόν· ἴξευον δὲ, φύσει μακρόν· χρονικῶς μεγεθύνεται. καὶ τὸ ἰξιόεν, τῶν θανασίμων ἐστὶ φαρμάκων· ὠνόμασται δὲ οὕτως, ἐπειδὴ τὰς ἐντὸς τροφὰς κατέχει ὡς ἰξός· ὀδμὴν δ' ἔχει παραπλήσιον ὠκίμῳ.

Ἰξός] ἰξὸς δέ ἐστιν ἡ παγὶς τῶν στρουθίων, ἀξός τις ὤν· 472
παρὰ τὸ ἄγειν τὰ ὄρνεα. ἢ παρὰ τὸ ἵκω ἴξω ἰξός. ὁ φθάνων μέχρις ἂν ἢ ἱπτάμενα τὰ ὄρνεα, μέχρις ὧν ἂν φθάνωσι τὰ πτηνὰ τόπων, ἀντὶ τοῦ ἔνθα ἱκνοῦνται καὶ παραγίνονται.

Ἰξύς, ἡ ὀσφῦς, ἤγουν τὸ ἰσχίον· οἱονεὶ ἀξύς τις οὖσα, ἣν οὐχ οἷόν τε κνῆσαι καὶ ξύσαι, διὰ τὸ μὴ φθάνειν τὴν χεῖρα κνήσασθαι. ἀλλαχοῦ δὲ ἄκνηστιν λέγει ταύτην, μεσάκωτον τὸν τόπον λέγων.

Ἶξον] Οἱ δ' ἶξον κοίλην Λακεδαίμονα: — Ἀπολλώνιος, ἀπὸ τοῦ ἵκω τοῦ διὰ τοῦ ι γραφομένου, λέγει, ὁ δεύτερος ἀόριστος, ἶκον· καὶ τροπῇ Βοιωτικῇ τοῦ κ εἰς ξ, ἶξον. οὕτως Ἀπολλώνιος· ὁ δὲ Ἡρωδιανὸς τοῦτο καὶ τὰ ὅμοια ἐκ μέλλοντος λέγει μετατεθεῖσθαι εἰς ἐνεστῶτα· ἴξω, καὶ ὁ παρατατικὸς, ἶξον, ἶξες, ἶξε· τὸ πληθυντικὸν, ἴξομεν, ἴξετε, ἶξον. ὅτι δὲ οὐκ ἔστι δεύτερος ἀόριστος, ἀλλὰ παρατατικὸς, τὰ τοιαῦτα ἐλέγχει, καὶ τὰ προστακτικά· εὑρήσεις γὰρ βῆσε, καὶ ἶξε, καὶ οἶσε, ὡς τύπτε καὶ γράφε. εἰ δὲ ἦν ἀόριστος, ἦν ἂν βῆσον καὶ ἶξον. ἔστι δὲ οἴσω μέλλων· οὗ ἄλλο κίνημα οὐχ εὕρηται πλὴν τοῦ αὐτοῦ μέλλοντος. τὸν δὲ Ἀπολλωνίου λόγον, δέον εἶναι μᾶλλον ἀληθέστερον· οὐ γὰρ παράτασιν σημαίνει, τὸ, Οἱ δ' ἶξον: — ἀλλὰ συντέλειαν· ὅτι παραγωγαὶ γεγόνασιν. οὐ γὰρ ταῖς φωναῖς τὰ μέρη τοῦ λόγου ἀκολουθεῖ, ἀλλὰ τοῖς σημαινομένοις ζητήμασιν.

Ἴουλος, τὸ πολύπουν ζῶον· ἀπὸ τοῦ ἰέναι καὶ τῆς λειότητος τῆς πορείας· ἢ ἀπὸ τοῦ ἰέναι οὖλον καὶ πυκνόν· ἢ ἀπὸ τοῦ οὔλως καὶ πυκνῶς εἱλεῖσθαι, ἴουλος ἐκλήθη· ὅθεν ἀπὸ μεταφορᾶς καὶ αἱ πολύκωποι νῆες, ἰουλόπεζοι ἀπ' αὐτοῦ κέκληνται. ἴουλος λέγεται καὶ ἡ πρώτη ἐξάνθησις τῶν τριχῶν κατὰ τὰς παρειάς, αἱ κατὰ παρειῶν ἐπ' εὐθείας ἐν πυκνότητι πρῶτον ἀναβλαστάνουσαι τρίχες· ἀπὸ τοῦ ἰούλου τοῦ ζώου, τοῦ πολλοὺς καὶ πυκνοὺς ἔχοντος πόδας. ὅτι — ἔτι χνοάοντας ἰούλους: — ἀντὶ τοῦ νεωστὶ ὡς χνοῦν τοὺς ἰούλους ἀναφέρων. ἔστι δὲ καὶ ᾠδῆς ὄνομα, ὥς φησιν Ἐρατοσθένης ἐν τῷ Ἑρμῇ, Ἡ χερνῆτις θεὸς ἐφ' ὑψηλοῦ ἐλεῶνος Δανδαΐτις στείχουσα, καλὰς δ' ἤειδεν ἰούλους: — ἢ ἴουλος, ἡ πρώτη τῶν γενείων ἔκφυσις, θερμοτάτη οὖσα καὶ πυκνοτάτη· ἀπὸ τοῦ ἰέναι λείως καὶ οὔλως. γένειον δὲ, ἡ ἐκ τῆς γένυος ἤτοι σιαγόνος ἐπιφερομένη τρίχωσις.

Ἶος, σημαίνει τὸν μόνον. τὰ διὰ τοῦ ιος δισύλλαβα, διαφόρως τονούμενα, διὰ τοῦ ι γράφεται. βίος. βιός· χίος, χιός· θριός, μνιός ὁ ἁπαλὸς παρὰ Εὐφορίωνι. καὶ ἰῷ ἤματι, Ἰλιάδος ζ', ἐν μιᾷ ἡμέρᾳ. ἡ εὐθεῖα, τὸ ἶον οὐδετέρως, τοῦ ἴου· σημαίνει τὸ μόνον. ἡ δοτικὴ ἰῷ, περισπώμενον· καὶ σεσημείωται μὴ φυλάξαν τὸν τόνον τῆς γενικῆς.

Ἰός, σημαίνει τὸ βέλος· διὰ τὸ βλαπτικὸν εἶναι· ὥςπερ γὰρ ὁ ἰός φάρμακόν ἐστι τοῦ σιδήρου, οὕτω καὶ οὗτος τοῦ σώματος. ἢ παρὰ τὸν ἰόν, τὸ δηλοῦν τὸ φάρμακον τοῦ ὄφεως· καὶ γὰρ ἔχριον τὰ βέλη ἀπὸ τοῦ ἰοῦ τοῦ

ὄφεως· ἵνα τιτρωσκόμενός τις εὐθέως ἀναιρεθῇ. ἢ παρὰ τὸ ἰέναι ποιεῖν τοὺς τιτρωσκομένους εἰς ᾅδου. ἀπὸ τοῦ ἵημι γίνεται τὸ ἰέναι· καὶ γὰρ λίαν πορεύεται τὸ βέλος· καὶ ὁ ἰὸς πορευτικός ἐστιν.

Ἰόμωροι, οἱ περὶ τοὺς ἰοὺς καὶ τὰ τόξα πεπονημένοι καὶ
473 μεμορημένοι, ὅ ἐστι κάμνοντες, τοξόται. παρὰ τὸν μόρον, κατὰ ἔκτασιν τοῦ ο εἰς ω· ὃ σημαίνει τὴν εἱμαρμένην καὶ τὴν κακοπάθειαν· οἷον, τρίγληνα μορόεντα: — ἢ ἀμελοῦντες.

Ἰοχέαιρα, ἡ Ἄρτεμις, ἡ περὶ ἰοὺς καὶ τόξα χαίρουσα· ἢ παρὰ τὸ χέειν τοὺς ἰούς, ὅ ἐστι τὰ βέλη· τοξότις γὰρ ἡ θεός.

Ἰότης ἰότητος, λέγεται ἡ βουλὴ καὶ ἡ φροντίς. ἀπὸ τοῦ ἰοῦ τοῦ βέλους, ἰός, ἰότης· ἀπὸ τοῦ ἵεσθαι καὶ εἰς πάντα ἰέναι.

Ἴον, ὄνομα βοτάνης, τὸ ἄνθος· παρὰ τὸ ἀνιέναι ταχύ. καὶ Ἡσίοδος, — περὶ κρήνην ἰοειδέα: — ἀντὶ τοῦ τὴν ἀνθώδη· Ὅμηρος δὲ, ἰοειδέα πόντον: — τὸν μελανώδη ἔλαβεν.

Ἰόπη, πόλις Παλαιστίνης. εἴρηται δὲ, οἱονεὶ Αἰθιόπη τὶς οὖσα· κατεῖχον γὰρ αὐτὴν Αἰθίοπες.

Ἰόνιος κόλπος, ἀπὸ τῆς Ἰοῦς, ὡς Αἰσχύλος.

Ἴουθος, ἡ πρώτη ἔκφυσις τῶν τριχῶν· ἀπὸ τοῦ εἰς τὰ ἄνω ἰέναι τὴν τρίχα, ὡς ἄνθος βλαστάνουσαν.

Ἰορδάνης, παρὰ τὸ Ἰορ καὶ τὸ δάνος· ὄνομα ποταμῶν· δύο γὰρ εἰσι ποταμοὶ ἐν ταυτῷ μεμιγμένοι. κλίνεται Ἰορδάνου· τὰ εἰς ης κύρια, μὴ παρ' οὐδετέρου συντιθέμενα, εἰς ου ἔχει τὴν γενικὴν, οἷον, Ἑρμιόνης Ἑρμιόνου.

Ἰπνος, κάμινος ἢ φοῦρνος, ἢ φανός· καὶ τὸ μαγειρεῖον, καὶ μέρος τὶ τῆς νεώς.

Ἶπος, σημαίνει τὴν παγίδα τῶν μυῶν, καὶ τὸ πραιτώριον. παρὰ τὸ ἴπτω τὸ βλάπτω, γίνεται ἶπος· καὶ γὰρ τοῦτο εἶδος φθαρτικόν ἐστι τῶν μυῶν. καὶ παρὰ τὸ ἶπος, γίνεται ἰπῶ ῥῆμα, σημαῖνον τὸ θλίβω. καὶ Ἀριστοφάνης, Ἰπούμενος ταῖς συμφοραῖς: — ὡς κόπτω κόπος, οὕτως ἴπτω ἶπος.

Ἵππος, παρὰ τὸ ἵεσθαι τοῖς ποσί. γράφεται διὰ δύο ππ, πρὸς ἀντιδιαστολὴν τοῦ ἶπος τοῦ σημαίνοντος τὴν παγίδα. Ἰστέον δὲ ὅτι οἱ Ἴωνες πάσας τὰς ἀγέλας ἐκθηλύνουσι τῇ προφορᾷ, τὰς ἵππους, καὶ τὰς ὄνους, καὶ τὰς βοῦς λέγοντες.

Ἱππῆς. δεῖ γινώσκειν, ὅτι ἐπὶ τῶν εἰς ευς ὀνομάτων ἡ εὐθεῖα τῶν πληθυντικῶν τὰ δύο εε εἰς τὴν ει δίφθογγον κιρνᾷ ἐπὶ κυρίου· ἐπὶ δὲ τοῦ μὴ κυρίου, παρ' ἡμῖν μὲν, διὰ τῆς ει διφθόγγου· παρὰ δὲ τοῖς Ἀθηναίοις, εἰς η, βασιλέες βασιλῆς. Χοιροβοσκός.

Ἵππιος ὁ Ποσειδῶν· ὅτι δοκεῖ πρῶτον ἵππον γεγεννηκέναι Σίσυφον ἐν Θεσσαλίᾳ, τῇ τριαίνῃ πέτραν παίσας· ὅθεν ἱερὸν Ποσειδῶνος Πετραίου καθίδρυται ἐν Θεσσαλίᾳ. ζήτει Ἱπποκόοντος, ἱππασία.

Ἱππιόθων. κερηνῶνος. πῶς; ὅτι λάθρα αὐτὸν ἐκ Ποσειδῶνος κυήσασα, ἐξέθηκεν· ἵππος δὲ αὐτὸν ἐξέθρεψεν.

Ἱππιοχάρμην, τὸν χαίροντα τῇ ἱππικῇ. ἢ ἱππόμαχον· χάρμην γὰρ τὴν μάχην φασίν.

* Ἱππόβοτος, ὁ βόσκων τοὺς ἵππους.

Ἵππουριν] ἵππουρις ἱππούριδος, εἶδος ἐστὶ περικεφαλαίας· ἐκ τοῦ ἵππος καὶ τοῦ οὐρά, ἢ ἐξ ἱππείας οὐρᾶς, ἢ ἐξ ἱππίων τριχῶν λόφον ἔχουσα. λόφος δέ ἐστι τὸ περιττεῦον τῆς περικεφαλαίας ἀνάστημα χάριν κοσμου καὶ καταπλήξεως.

474 Ἵππουρις, διατί προπαροξύνεται; τὰ εἰς ρις λήγοντα ὑπὲρ δύο συλλαβὰς, διφθόγγῳ τῇ διὰ τοῦ υ παραληγόμενα, ἅπαντα ὀξύνεται, οἷον μελουρίς, (σημαίνει δὲ τὴν σιτοφάγον ἀκρίδα) κυνοσουρίς. σεσημείωται τρία, λάμπουρις, ἡ ἀλώπηξ· Τόμουρις, ὄνομα πόλεως· καὶ ἵππουρις.

* Ἱπποκάνθαρος, ὁ ἱππεύων τὸν κάνθαρον, παρὰ Ἀριστοφάνει.

Ἱππότα, ὄνομα ἐστὶν ἀπὸ τοῦ ἱππότης· κατὰ μεταπλασμὸν, ἱππότα, ἀντὶ τοῦ ἱππικός. ἐπὶ δὲ τοῦ, — ἱππότα Νέστωρ, ἀντὶ τοῦ φυγάδα ἐστίν.

Ἱπποσύνη, ἱππικὴ ἐμπειρία. δασύνεται· τὸ ι πρὸ δύο συμφώνων τῶν αὐτῶν ψιλοῦται, ἰλλάς, ἰλλοί· ἴκκος, σημαίνει τὸν ἵππον. σεσημείωται τὸ ἵππος.

Ἱππόβοτον, τὸ ἵππους τρέφον. ἀπὸ τοῦ βῶ βόσω, γίνεται βοτός· καὶ μετὰ τοῦ ἵππος, Ἄργος ἐς ἱππόβοτον: — ἀπὸ δὲ τοῦ ἀγήνορος ἵππου, ὠνόμασται τὸ Ἄργος ἱππότροφον. διατί ἀνεβίβασε τὸν τόνον; τὰ εἰς ος ὀξύτονα δισύλλαβα ἐν τῇ συνθέσει προπαροξύνεται· βατός, Ἄμβατος ἔστι πόλις: φατός, ἀρηΐφατος. χωρὶς εἰ μὴ παρασύνθετα ὦσι, διὰ τὸ μετρῶ μετρήσω μετρητός· καὶ, — διαμετρητῷ ἐνὶ χώρῳ.

Ἱπποκορυσταί, ἐφ' ἵππων ὁπλιζόμενοι· ἢ ἵππους κορύσσοντες, τουτέστι πολεμικοί· ἢ ἐφ' ἵππων μαχόμενοι. γίνεται δὲ ἐκ τοῦ ἵππος καὶ τὸ κορυστής· τοῦτο ἐκ τοῦ κορύσσω· τοῦτο ἐκ τοῦ κορύνη· ἔστι δὲ ἐπικαμπὲς ῥόπαλον. ἱπποκορυστής· διατί οὐκ ἀνεβίβασε τὸν τόνον; ἐπειδὴ τὰ εἰς ης ὑπὲρ μίαν συλλαβὴν ἐν τῇ συνθέσει τοῦ ἁπλοῦ φυλάσσει τὸν τόνον, ἐρανιστής, ἀρχερανιστής. ζήτει εἰς τὸ Ἡρακλῆς.

Ἱππία. ἐκλήθη οὕτως ἡ Ἀθηνᾶ· ἐπεὶ ἐκ τῆς κεφαλῆς τοῦ Διὸς μεθ' ἵππων ἀνήλατο, ὡς ὁ ἐπ' αὐτῆς ὕμνος δηλοῖ. ἢ ὅτι Ποσειδῶνος οὖσα θυγάτηρ καὶ Κορυφῆς τῆς Ὠκεανοῦ, ἔχουσα ἅρμα, οὕτως ἐγεννήθη. ἢ ὅτι Ἄδραστος Θήβηθεν φεύγων, ἐπὶ κολωνῷ στήσας τοὺς ἵππους, Ποσειδῶνα καὶ Ἀθηνᾶν ἱππίους προσηγόρευσεν.

Ἱπποκένταυρος, ἀναγωγικῶς νοεῖται· φασὶ γὰρ αὐτὸν ἰατρικὴν ἐπιδείξασθαι. ἀνάγεται δὲ καὶ οὕτως· ἐπειδὴ τὸ σῶμα αὐτοῦ, τὸ μὲν ἥμισυ, ἵππου ἦν· τὸ δὲ ἥμισυ, ἀνθρώπου· πεφανέρωται ὅτι διὰ τοῦ ἀλόγου μέρους ἐδήλωσε τὸ πρακτικόν· διὰ δὲ τοῦ ἀνθρωπείου, τὸ λογικόν.

Ἱππομανής. Σοφοκλῆς Αἴαντι, Σὲ τὸν ἱππομανῆ: — ἤτοι πολεμικὸν καὶ ἵπποις ἐπιμαινόμενον. εἴωθε γὰρ ἡ προσθήκη τῶν τοιούτων ζώων τὸ μέγεθος τοῦ ὑποκειμένου δηλοῦν, ὡς θυμὸν ἱππογνώμονα, τὸν μεγάλης γνώμης· καὶ βοῦπαις. ἱππομανής· ἔστι καὶ ἐπὶ τοῦ λειμῶνος, ἤτοι ὅπου ἵπποι μαίνονται· ἢ τὸν μέγαν καὶ ἄνετον, ἢ τὸν εὐανθῆ, ἐν ᾧ εὐανθὴς βοτάνη, ὥστε μαίνεσθαι τοὺς ἵππους διὰ τὸν καιρὸν ἐπ' αὐτῆς τῆς χλόης τοῦ λειμῶνος, τὴν μεγάλως μεμηνυῖαν· καὶ τὸν ἀνθοῦντα τῇ χλόῃ· ἐπεὶ καὶ φυλλομανής.

Ἱπποδάμοιο] αἱ διὰ τοῦ οιο Θετταλικαὶ γενικαὶ, εἰ μὲν ἀπὸ περισπωμένου γενικῆς ὦσι, προπερισπῶνται, καλοῦ καλοῖο· εἰ δὲ ἀπὸ βαρυτόνου, προπαροξύνονται, ἀχράντου ἀχράντοιο.

Ἱππόκομοι κόρυθες. τὰ ἀπὸ τῶν εἰς η θηλυκῶν συντε-
θέντα μεταβάλλοντα τὸ τέλος εἰς ος, προπαροξύνεται, 475
ὡς ἄφωνος, ἄναυδος· οὕτω καὶ κόμη, ἱππόκομος πήληξ. ὅτε δὲ παροξύνεται τὸ ἱπποκόμος, τότε τὸ κομεῖν ἔγκειται, καὶ δηλοῖ τὸν ἐπιμελούμενον τῶν ἵππων· ἐκ τοῦ ἵππος καὶ τοῦ κομῶ τὸ θεραπεύω.

Ἱρός, σημαίνει τὸν ἱερόν. ἀπὸ τοῦ ἴω τὸ πέμπω, γίνεται παράγωγον ἱερός. ὡς τήκω, τακερος· καὶ κράσει τοῦ ι καὶ ε εἰς ι μακρὸν, γίνεται ἱρός· ἡνίκα γὰρ ἐπιφέρεται

τῷ ι τὸ ε, τὸ ι ἐπικρατεῖ, ἱέραξ, ἴρηξ· ἡνίκα δὲ τὸ ε καὶ ι ἐν διφθόγγῳ ἐστὶ, τότε ἡ ει δίφθογγος ἐπικρατεῖ, ταμιεῖον, ταμεῖον· Ἀπολλωνίεια, ἀπολλωνεία.

Ἶραι, αἱ ἐκκλησίαι, ὡς τὸ, Ἰράων προπάροιθεν: ἢ παρὰ τὸ εἴρω τὸ λέγω, ἢ ἀπὸ τοῦ ἱεραὶ εἶναι. ζήτει εἰς τὸ Κάειρα.

Ἶρος, ὄνομα κύριον ἐν Ὀδυσσείᾳ, ὁ πτωχὸς καὶ πένης· ὃς κατὰ τὴν ἐτυμολογίαν διὰ τῆς ει διφθόγγου γράφεται· παρὰ γὰρ τὸ εἴρω τὸ λέγω· καὶ ὁ ποιητὴς δηλοῖ λέγων, — Ἶρον δὲ νέοι κίκλησκον ἅπαντες, Οὕνεκ' ἀπαγγέλλεσκε κιών, ὅτε πού τις ἀνώγοι: — ἀλλ' ἔστιν εἰπεῖν, ὅτι ἀπὸ τοῦ ἱερός γίνεται κράσει ἱρός, καὶ Ἶρος κύριον. πολλὰ γὰρ εὑρίσκονται ὀξύτονα, ἅτινα γινόμενα κύρια, βαρύνεται· οἷον, ξανθός, Ξάνθος· πυῤῥός, Πύῤῥος· γλαυκός, Γλαῦκος· λευκός, Λεῦκος. οὕτως οὖν καὶ ἱρός, Ἶρος. καὶ ἄλλως· τὰ διὰ τοῦ ιρος δισύλλαβα κύρια, καὶ βαρύνονται, καὶ διὰ τοῦ ι γράφονται, οἷον, Κίρος, ὄνομα κύριον· Πίρος, ὄνομα ποταμοῦ· καὶ Τίρος, ὄνομα ποταμοῦ· Μίρος, ποταμὸς Φρυγίας· σκίρος, ὁ γύψος· Σβῆρος δὲ, ὄνομα κύριον. πρόσκειται κύρια, διὰ τὸ λῆρος, ἡ φλυαρία· καὶ νειρός ὀξύτονον· οὐκ ἔστι δὲ κύριον· σημαίνει τὸν ὁρμητικόν. Ἰστέον δὲ ὅτι οὐ μόνον ὁ παρὰ τῷ ποιητῇ Ἶρος ἐλέγετο, ἀλλὰ καὶ ἄλλος πρὸ αὐτοῦ ἦν Ἶρος λεγόμενος. ἔστι δὲ καὶ Ἶρος πόλις Θεσσαλίας, ἀπὸ Ἴρου τοῦ κτίσαντος αὐτήν.

Ἶρις, σημαίνει καὶ ποπάνου τι εἶδος, καὶ τοῦ ὀφθαλμοῦ τὸν περὶ τὴν κόρην κύκλον, καὶ τῶν λίθων τοὺς κρυσταλλώδεις· καὶ ἀρωματικὴ πόα.

Ἶρις, σημαίνει τὴν ἄγγελον τῶν θεῶν· καὶ γίνεται παρὰ τὸ εἴρειν καὶ λέγειν τὰ μέλλοντα· σημαίνει καὶ τὴν νεφελώδη ζώνην, τὸ τόξον τὸ ἐν τῷ οὐρανῷ φαινόμενον· καὶ αὐτὸ ἀπὸ τοῦ εἴρω· παρὰ τὸ σημαίνειν καὶ προλέγειν τὸ μέλλον ἔσεσθαι, χειμῶνα ἢ εὐδίαν. ἢ παρὰ τὸ τηρεῖν καὶ κινεῖν τὸν ὄμβρον. σημαίνει καὶ ποταμὸν, ὡς παρὰ Ἀπολλωνίῳ, — ποταμὸν ἀγχίροον Ἶριν: — σημαίνει καὶ τὴν φιλοσοφίαν, καὶ ἔριν, καὶ φήμην. τὰ εἰς ρις θηλυκὰ ῥηματικὰ δισύλλαβα ἑνὶ φωνήεντι θέλει παραλήγεσθαι, οἷον, χαίρω, χάρις· εἴρω, ἔρις καὶ Ἶρις· δαίω, δῆρις· τὸ δὲ κουρίς, ὃ σημαίνει τὸ ἐργαλεῖον τοῦ κουρέως, ὀξύνεται· τὸ δὲ Χαῖρις Χαίριδος, ὄνομα κύριον, ἀρσενικόν ἐστι. τὸ θοῦρις ἀπὸ τοῦ θοῦρος γίνεται.

Ἴσαν, σημαίνει τὸ ἐπορεύοντο. τοῦ εἶμι τὰ πληθυντικὰ
διὰ τοῦ ἰῶτα γράφεται, ὡς ἀπὸ τοῦ ἴω βαρυτόνου, οὗ
ὁ παρατατικὸς, ἴεν, οἷον, — ἄσσον ἴεν πολυκάρπου
ἀλωῆς: — ἐξ οὗ καὶ ὁ δεύτερος ἀόριστος ἤϊον. ἔστι δὲ
καὶ τοῦτο σχῆμα κατὰ Ἀπολλώνιον. ἔστιν εἴω· εἶτα
διαιρέσει, ἐΐω· καὶ κατὰ ἀφαίρεσιν τοῦ ε, γίνεται ἴω,
καὶ ἰῶ περισπωμένως. ζήτει. ἐκ τοῦ εἶμι οὖν, ὁ παρα-
476 τατικὸς, εἶν· τὸ πληθυντικὸν, ἴμεν· ἀλλ' ἐπὶ τοῦ πα-
ρατατικοῦ τῶν εἰς μι καὶ ἡ παραλήγουσα συστέλλεται·
τὸ τρίτον, ἴσαν. ἢ ἀπὸ τοῦ ἵημι· οὗ ὁ μέλλων, ἥσω·
ὁ ἀόριστος, ἧσα· τὸ πληθυντικὸν, ἵσαμεν· τὸ τρί-
τον, ἵσαν.

Ἴσασι, σημαίνει τὸ γινώσκουσιν. ἀπὸ τοῦ εἴδω τὸ ἐπίσταμαι, ὁ μέλλων, εἴσω· γίνεται ῥῆμα περισπώμενον διὰ τοῦ ι, ἰσῶ· οὗ παράγωγον, ἴσημι· σημαίνει τὸ αὐτό· τὸ πληθυντικὸν, ἴσαμεν· καὶ συγκοπῇ, ἴσμεν· τὸ δεύτερον, ἴσατε· καὶ συγκοπῇ, ἴστε· τὸ τρίτον, ἴσασιν ὁμοφώνως τῇ δοτικῇ τῶν πληθυντικῶν τῆς μετοχῆς τοῦ ἴσαντος ἴσασι. καὶ οὐ προπερισπᾶται, ὥςπερ τὸ ἱστᾶσι καὶ κιχρᾶσι. διατί δὲ ἡ ἴσας μετοχὴ βαρύνεται, πάντων τῶν εἰς ας ὀξυτονουμένων, οἷον ἱστάς, κιχράς; ἔστιν οὖν εἰπεῖν, ὅτι ὁ χαρακτὴρ ἐστὶν αἴτιος τῆς βαρυτόνου τάσεως· πᾶσα γὰρ μετοχὴ διὰ τοῦ ισας βαρύνεται· οἷον γεμίσας, λεπίσας.

Ἴσθι τὸ σημαῖνον τὸ ὕπαρχε, ἀπὸ τοῦ εἰμί· τὸ πρῶτον τῶν πληθυντικῶν, ἐμέν· τὸ προςτακτικὸν, ἔθι· καὶ πλεονασμῷ τοῦ σ, ἴσθι· τὸ γὰρ ε, πλεονάζοντος συμφώνου, τρέπεται εἰς ι· τοῦτο δὲ τὸ ἴσθι, κατὰ τὸ τρίτον πρόσωπον τὸ ὀφειλόμενον ε ἀναδέχεται, καὶ γίνεται ἔστω.

Ἴσθι, σημαίνει τὸ γίνωσκε. ἐκ τοῦ ἰσῶ. τὰ εἰς ω λήγοντα ῥήματα, κατ' ἔνδειξιν χρόνου ἐκ βαρυτόνων εἰς περισπώμενα μεταγόμενα, διχρόνῳ βραχεῖ παραλήγεται, οἷον πείθω, πιθῶ· στείχω, στιχῶ· φείδω, φιδῶ· τεύχω, τυχῶ. οὕτως οὖν καὶ εἴδω, εἴσω, ἰσῶ· καὶ ἴσημι παράγωγον· ὅπερ Δωρικῶς γίνεται ἴσαμι, ὡς παρὰ Θεοκρίτῳ, — καλῶς μάλα τοῦτό γ' ἴσαμεν: — καὶ τὸ προςτακτικὸν, ἴσαθι· καὶ κατὰ συγκοπὴν, ἴσθι· τὸ τρίτον, ἰσάτω, καὶ ἴστω κατὰ συγκοπήν, ἀντὶ τοῦ γινωσκέτω· Ἴστω νῦν τόδε γαῖα: — ἄλλως· ἴσημι τὸ γινώσκω· ὁ μέλλων, ἴσω· ὁ ἀόριστος, ἶσα· ἡ μετοχὴ, ἴσας ἴσαντος· καὶ τὸ προςτακτικὸν, ἴσαθι καὶ ἴσθι· τὸ δυϊκὸν, ἴστον. καὶ πλεονασμῷ τοῦ ε γίνεται ἰστέον.

Ἴθι, σημαίνει τὸ πορεύου, καὶ ἐλθέ, καὶ παραγενοῦ. ἐκ τοῦ εἶμι τὸ πορεύομαι, τὸ πληθυντικὸν, ἴμεν· τὸ προςτακτικὸν, ἴθι· τὸ τρίτον, ἴτω.

Ἴσκεν] Ἴσκεν ψεύδεα πολλὰ λέγων ἐτύμοισιν ὁμοῖα: — τινὲς βούλονται τὸ ἔλεγε σημαίνειν· ἄλλοι δὲ, ἤϊσκεν εἴκαζεν καὶ ὡμοίου· τὸ γὰρ ὅλον, πολλὰ ψευδῆ λέγων εἴκαζεν, ὥςτε ὅμοια εἶναι ἀληθέσιν. ἀπὸ τοῦ εἴδω τὸ ὁμοιῶ ὁ μέλλων εἴσω· πλεονασμῷ τοῦ κ, εἴσκω· καὶ ἐπειδὴ οὐδέποτε τὰ διὰ τοῦ ισκω θέλει ἔχειν πρὸ τέλους τὴν ει δίφθογγον, γίνεται κατὰ διαίρεσιν ἐΐσκω· καὶ ἀποβολῇ τοῦ ε, ἴσκω. Ἰλιάδος λ', Αἴκέ σε τῷ ἴσκοντες ἀπόσχωνται πολέμοιο: — ἀντὶ τοῦ ὁμοιοῦντες.

Ἶσις, δαίμονός ἐστιν ὄνομα τιμωμένης παρὰ Αἰγυπτίοις. ἴσον γίνεται ἶσις· ἡ αὐτὴ γάρ ἐστι τῇ γῇ· καὶ γὰρ ἡ γῆ ἴση ἐστὶ, καὶ σφαιροειδής. ἄλλοι δὲ λέγουσιν, αὕτη ἐστὶν ἡ Ἰώ· τούτου χάριν διὰ τοῦ ι γράφεται· ἐπειδὴ παρὰ τὸ ἴεσθαι ἐστί· καὶ γὰρ πολλὰ ἐπλανήθη ἡ Ἰὼ μεταβληθεῖσα εἰς βοῦν ταῦτα. ὑπάγεται δὲ τὸ Ἶσις τῷ κανόνι τοῦ Βιθυνία· καὶ γὰρ ἔχει τὸ ι ἐν τῇ δευτέρᾳ συλλαβῇ ὡς ἶρις.

Ἰσίδωρος, ὄνομα κύριον· παρὰ τὸ Ἶσις καὶ τὸ δῶρον.

Ἴσανδρος] ἐκ τοῦ ἀνδρὸς καὶ τοῦ ἴσος, γίνεται ἴσανδρος.

Ἰσοφαρίζειν, ἐξισοῦσθαι, ἴσος φαίνεσθαι.

Ἴσμαρος, πόλις Θράκης· ἀπὸ Ἰσμάρου τοῦ Ἄρεως καὶ 477
Θράσσης παιδός. Ὦρος.

Ἴσμα, τὸ ἵδρυμα· παρὰ τὸ ἵζω.

Ἰσραήλ, παρὰ τὸ ἴς, ὃ σημαίνει τὴν δύναμιν, καὶ τὸ ὁρῶ τὸ βλέπω, καὶ τὸ ἤλ, ὃ σημαίνει τὸν θεόν· ὁ δυνάμενος βλέπειν θεόν· ἢ νοῦς ὁρῶν θεόν. ἢ παρὰ τὸ ὁρῶ, ὁ μετὰ δυνάμεως βλέπων τὸν θεόν.

Ἴσος, ὁ ὅμοιος ἐξίσου. παρὰ τὸ εἴδω τὸ ὁμοιῶ, ὁ μέλλων, εἴσω· ῥηματικὸν ὄνομα, ἴσος, κατὰ ἀποβολὴν τοῦ ε. εὕρηται τὸ ι μακρὸν καὶ βραχύ· παρὰ μὲν τῷ ποιητῇ, ἀεὶ μακρόν· παρὰ δὲ τοῖς πεζολόγοις, βραχύ. καὶ παρὰ τοῖς ἐποποιοῖς εὕρηται καὶ συνεσταλμένον, ὡς παρὰ Καλλιμάχῳ· παρὰ δὲ τοῖς τραγικοῖς καὶ κωμικοῖς συστέλλεται ἀεὶ τὸ ι, ὡς παρὰ Εὐριπίδῃ, Ἴσους ἴσοισι πολεμίοισιν ἀντιθείς: — καὶ πάλιν, Κοινῆς τραπέζης ἀξίωμ' ἔχων ἴσον: — κατὰ δὲ ἰαμβικοὺς ἐπαμφοτερίζει. ἴσως δὲ ὁ ποιητὴς Δωρικῶς ἐκτείνει τὸ δίχρονον, ὡς τὸ ὕδωρ καὶ ἰλύς, Κεῖσθαι ὑπ' ἰλύος: — καί, Ἄρες ἄρες.

* Ἰσόχνοος, ἐπίθετον τῶν μήλων ἴσον χνόον ἐχόντων, ὅτε πεπαίνει.

Ἰσθμός, οὐ μόνον ὁ λαιμὸς, ἀλλὰ καὶ στενὴ γαῖα μεταξὺ δύο θαλασσῶν· πορθμὸς δὲ, στενὴ θάλασσα μεταξὺ δύο γαιῶν. ἰσθμὸς δὲ εἴρηται, παρὰ τὸ ἵημι, ἢ παρὰ τὸ ἴω ἴσω, ἰσμός· καὶ πλεονασμῷ τοῦ θ, ἰσθμός. ἢ παρὰ τὸ εἶμι τὸ πορεύομαι, τὸ πληθυντικὸν, ἴμεν· ἐξ αὐτοῦ ἰμός· καὶ πλεονασμῷ τοῦ σ, καὶ ἐπενθέσει τοῦ θ, ἰσθμός, εἰς ὃν τις πορεύεται. ἢ ἰσθμός ἐστιν ὁ βάσιμος τόπος, ἑκατέρωθεν θάλασσαν ἔχων, ἰθμός τις τυγχάνων, παρὰ τὰ ἴθματα τὰ βήματα.

Ἴσθμιον, ὁ περιτραχήλιος κόσμος, ὁ περιτιθέμενος τῷ ἰσθμῷ· παρὰ τὸ ἰσθμός, ἴσθμιον, καὶ παρίσθμιον, παρίσθμια. ἰσθμὸς δὲ καὶ ὁ τράχηλος, παρὰ τὸ εἰσιέναι δι' αὐτοῦ τὰ ποτὰ καὶ τὰ βρώματα. ζήτει εἰς τὸ παρίσθμια.

Ἵστημι, ἐκ τοῦ στῶ· καὶ κατὰ ἀναδιπλασιασμὸν, ἱστῶ· καὶ ἐξ αὐτοῦ ῥῆμα παράγωγον, ἵστημι. τὸ ι, ἰῶτα· πᾶς ἀναδιπλασιασμὸς διὰ βραχέος ἐκφέρεται. ἐνταῦθα δὲ οὐκ ἔστι κυρίως· ἀναδιπλασιασμὸς γὰρ κυρίως ἐστίν, ὅταν τὸ ἑξῆς τῆς λέξεως δὶς τὸ αὐτὸ σύμφωνον παραλαμβάνει· καταχρηστικῶς δὲ, καὶ ὁ ἐξ ἑνὸς φωνήεντος, οἷον ὦ, ἰῶ· στῶ, ἱστῶ. ποσαχῶς γίνεται ὁ ἀναδιπλασιασμός; τετραχῶς· ἐὰν ἄρχηται ἀπὸ τοῦ στ τὸ ῥῆμα ἢ ἀπὸ φωνήεντος, διὰ τοῦ ι μόνου γίνεται ὁ ἀναδιπλασιασμός, στῶ, ἱστῶ· ὦ, ἰῶ· εἰ δὲ ἀπὸ ἀφώνου, διὰ τοῦ αὐτοῦ ἀφώνου καὶ τοῦ ι μόνου γίνεται, οἷον θῶ, θιθῶ, καὶ τιθῶ, τίθημι. εἰ δὲ δύο σύμφωνα ἔχει ὁ ἐνεστὼς, διὰ τοῦ προτέρου· οἷον πλῶ, πιπλῶ, πίπλημι, πλήσω· χρῶ, κιχρῶ, κίχρημι, χρήσω. τῶν εἰς μι ἡ πρώτη καὶ δευτέρα συζυγία, τῷ η παραλήγεται· ἡ δὲ τρίτη, τῷ ω· καὶ ἡ τετάρτη, διχρόνῳ ἐκτεταμένῳ. τὸ παθητικὸν, ἵσταμαι, ἱστάμην, ἵστασο· καὶ κατ' ἔνδειαν τοῦ σ, γίνεται ἵσταο, ὡς, — ἔπος φάο: — ἀπὸ τοῦ ἐφάμην, ἔφασο· καὶ μάρναο, ἀντὶ τοῦ ἐμάρνασο· καὶ ἔσσυο, ἀντὶ τοῦ ἔσυσο.

Ἵστη μὲν ὄμμα: — ποικίλον ἐστίν· οἱ μὲν λέγουσιν, ὅτι ὅταν ἀποκοπὴ γίνοιτο τῶν εἰς θι προστακτικῶν, ἐπαύξησις ἀκολουθεῖ, οἷον ἵσταθι· καὶ κατὰ ἀποκοπὴν, 478 ἵστα· καὶ ἐκτάσει, ἵστη· — μέγαθος δ' ὃς ἵστη: — τὸ δὲ, Μείζονα δὴ Κρήτης καθίστα: — ἀντὶ τοῦ εὐτρέπιζεν. ἐὰν μὲν βραχὺ, ἀποκοπή ἐστιν· ἐὰν δὲ κατὰ ἔκτασιν, ἀπὸ τοῦ ἱστῶ ἵστα, ὡς βόα. οὕτω Φίλων καὶ Τρύφων· λέγομεν δὲ καὶ ἡμεῖς, ὅτι οὐ μόνον ἐπὶ τῶν εἰς ω ῥημάτων, ἀλλὰ καὶ ἐπὶ τῶν εἰς μι τὰ τρίτα πρόσωπα τῶν παρατατικῶν δεύτερα γίνεται τῶν προστακτικῶν, οἷον νόει, φίλει, βόα. οὕτω καὶ οἱ Ἀττικοὶ, ἐὰν μὴ χρήσωνται τῇ θι καταλήξει, χρῶνται τοῖς τρίτοις προσώποις τῶν παρατατικῶν ἐν τοῖς προστακτικοῖς· οἷον, ἐτίθην, ἐτίθης, ἐτίθη, τίθη· ἐπίμπλην, ἐπίμπλης, ἐπίμπλη, πίμπλη. οὕτως Ἵστη δὲ μέγα κῦμα: — ὅτι τὰ τοιαῦτα καὶ Δωρικά εἰσιν· οἱ γὰρ Δωριεῖς λέγουσι πίμπλη κοινόα· καὶ γὰρ τὸ ὅρα, ὅρη λέγουσιν· οὕτω πίμπλα, πίμπλη. Ἡρωδιανός.

Ἵστωρ] ἀπὸ τοῦ εἴδω εἴσω τὸ γινώσκω, ῥηματικὸν ὄνομα ἵστωρ· καὶ ἐπιΐστορι, ἀντὶ τοῦ μάρτυρι, ἢ κριτῇ· καὶ ἱστορία· καὶ συνίστωρ, συμπράκτωρ, σύμβουλος, συγγνώστης· συνίστωρ, συνόμιλος, γνωστός, μάρτυς, συνειδὼς ἐπὶ πράγματα.

Ἱστός, παρὰ τὸ ἵστημι, ἀπὸ τοῦ ἀεὶ ἑστάναι· ὅθεν καὶ στύλος. ἐπὶ μὲν τοῦ ὑφαντικοῦ, Ἱστὸν ἐποιχομένην: — ἐπὶ δὲ τοῦ καταρτίου, Ἱστὸν δ' ἱστοδόκῃ πελέμιξεν: — ἱστός, τὸ μέγιστον ξύλον, ἡ κατάρτιος λεγομένη ὑπὸ τῶν ναυτικῶν· ἱστία δὲ, τῆς νηὸς ἡ ὀθόνη, ὅ ἐστι τὸ ἄρμενον. ἀπὸ τοῦ ἵζω, τὸ καθέζομαι, ὁ μέλλων ἵσω· ὄνομα ῥηματικὸν, ἱστός καὶ ἱστίον· παρὰ τὸ ἵζειν ἐφ' ἑνὸς τόπου καὶ ἱδρύσθαι.

Ἱστοπέδη, ὁ ἐν μέσῳ τῆς νεὼς κοῖλος τόπος, ὃν τινες λινίδα καλοῦσιν, εἰς ὃν ὁ ἱστὸς ἐντίθεται.

Ἱστοδόκη, ἡ ὑποδεχομένη τὸν ἱστὸν ἱστοθήκη· λέγεται δὲ τὸ κατὰ τὴν πρύμναν ἀνέχον ξύλον, καθ' οὗ κλίνεται ὁ ἱστός. τὰ δὲ παρὰ τοῦ δέχω πάντα διὰ τοῦ κ, ξεινοδόκος καὶ τὰ ὅμοια.

Ἴσχω, τὸ κρατῶ. ἀπὸ τοῦ ἔχω τὸ κρατῶ, πλεονασμῷ τοῦ σ, ἔσχω· καὶ τὸ ε, ἡνίκα πλεονάσῃ σύμφωνον, τρέπεται εἰς ι, καὶ γίνεται ἴσχω· τὸ παθητικὸν, ἴσχομαι, ἰσχόμην ἴσχου· τὸ προστακτικὸν, ἴσχου· καὶ κατὰ διάλυσιν, ἴσχεο· — σὺ δ' ἴσχεο: — ἀντὶ τοῦ παύου καὶ κάτεχε τὴν ὀργήν. ἢ ἀπὸ τοῦ σχῶ τὸ κρατῶ γίνεται κατὰ πλεονασμὸν τοῦ ι, ἰσχῶ· οὗπερ σχηματίζεται τὸ αὐτό· ἐξ οὗ παράγωγον, ἰσχανῶ· ὅθεν τὸ, Τὸνδ' οὔτ' ἄρτι γέφυραι ἐεργμέναι ἰσχανόωσιν: — ἀντὶ τοῦ κατέχουσι καὶ κωλύουσιν.

Ἰσχανόων] Ἰσχανόων φιλότητος ἐϋστεφάνου Κυθερείης: — σημαίνει τὸ ἐπιθυμῶν. ὥσπερ ἀπὸ τοῦ φῶ γίνεται φαίνω, οὕτω καὶ ἀπὸ τοῦ ἴσχω, γίνεται ἰσχαίνω· ὁ μέλλων, ἰσχανῶ· καὶ ἐκ τούτου γίνεται ἰσχανόων. γράφεται καὶ ἰχανόων. παρὰ τὸ λίαν ἔχεσθαι, ἰχαλῶ· καὶ τροπῇ, ἰχανῶ. ἢ ὥσπερ παρὰ τὸ παμφαίνω, ὁ μέλλων, παμφανῶ, οὕτω καὶ παρὰ τὸ ἰχῶ ἰχαίνω, ἰχανῶ· καὶ ὥσπερ τὸ γιγνώσκω, ἅμα τῇ ἀποβολῇ τοῦ γ ἐξετάθη τὸ δίχρονον, καὶ μετῆλθεν ἡ θέσει μακρὰ εἰς φύσει μακράν· οὕτω καὶ ἀπὸ τοῦ ἰσχανῶ μέλλοντος γίνεται ἰχανῶ ἀποβληθέντος τοῦ σ, καὶ ἐκταθέντος τοῦ ι· καὶ μετάγεται ὁ μέλλων εἰς ἐνεστῶτα, καὶ γίνεται ἰχανῶ ἐνεστώς, ὡς ἀπὸ τοῦ εἴρω ἐρῶ, γίνεται ἐνεστὼς ἐρῶ.

Ἰσχία, ὅτι ἴσχει τοὺς καθημένους· σημαίνει δὲ ἰσχίον τὸ ὑπὸ τὴν ὀσφῦν ὀστέον, εἰς ὃ ἔγκειται τὸ ἱερὸν ὀστοῦν, ὅπερ καὶ γλουτός καλεῖται, καὶ κοτύλη, παρὰ τὴν 479 κοιλότητα· ἢ τὸ κοῖλον τοῦ γλουτοῦ, ἐν ᾧ ἡ κοτύλη στρέφεται.

Ἰσχνός, ὁ λεπτός. παρὰ τὸ ἴσχω, ἰσχός καὶ ἰσχνός. ἢ παρὰ τὸ ἴσχω, ἰσχνῶ καὶ ἰσχνός· καὶ ἰσχνομυθοῦντες, τὸ ἀκριβολογοῦντες.

Ἰσχυρός] ἀπὸ τοῦ ἴσχω κατὰ παραγωγὴν γίνεται ἰσχύω· ὁ μέλλων, ἰσχύσω· καὶ ἀποβολῇ τοῦ ω, ἰσχύς· καὶ ἰσχυρός, ὁ ἴσχειν καὶ ἀντέχειν δυνάμενος. τὰ διὰ τοῦ υρος ἀρσενικὰ, ὑπὲρ δύο συλλαβὰς, διὰ τοῦ υ ψιλοῦ γράφεται. τὸ υ, μακρόν· τὰ εἰς ρος λήγοντα ὀξύτονα, ἔχοντα τὴν τρίτην ἀπὸ τέλους μακρὰν φύσει ἢ θέσει, μακρὰν ἔχει τὴν πρὸ τέλους καὶ ὀξύνεται, οἷον τολμηρός, ὀκνηρός.

Ἰσχάς, ἀπὸ τῆς ἰσχύος· ἐπειδὴ πρὶν τὴν κρεωδοσίαν δοθῆναι τοῖς Ἀθηναίοις, ἐχρῶντο τῇ ἰσχάδι. ἢ ἰσχάς ἐστιν οἱονεὶ τὸ κατισχνωμένον σῦκον. παρὰ τὸ ἴσχω, ἰσχνῶ ἰσχνάδες, τὰ λεπτυνθέντα σῦκα ἐν τῷ ξηραίνεσθαι. ἢ ὅτι ἕως τούτου προβαίνει ὁ καρπός. πρῶτον γάρ ἐστιν ὄλυνθος· εἶτα φῆληξ· εἶτα σῦκον· καὶ λοιπὸν ἔσχατον ἰσχὰς, ἡ ἴσχειν ποιοῦσα τὴν αὔξησιν· φθινόπωρον γάρ ἐστιν.

Ἰσχνόν, θαλπεινόν, ἢ σαπρόν· καὶ εἰ μὲν σημαίνει θαλπεινὸν, παρὰ τὸ ἰαίνω τὸ εὐφραίνομαι· εἰ δὲ τὸ σαπρὸν, παρὰ τὸ ἵημι τὸ πέμπω, οἱονεὶ τὸ ἀποπεμπόμενον.

Ἰταμόν, τὸ ἀναιδές· παρὰ τὸ ἵεσθαι, ὅ ἐστιν ὁρμᾶν. τοιοῦτοι δὲ οἱ ἀναιδεῖς.

Ἰτέα, παρὰ τὸ ἰέναι· ταχέως γὰρ αὔξεται. ἢ παρὰ τὸ ἰτόν, τὸ πορευτόν· ὁρμητικὸν γὰρ τὸ φυτόν.

Ἰτέον, ἐπίῤῥημα ποιότητος, ἀντὶ τοῦ πορευτέον. ἀπὸ τοῦ εἶμι ὁ δεύτερος ἀόριστος, ἦν· ἡ μετοχὴ, εἴς, ἕντος· καὶ τὸ προστακτικὸν, ἔθι· καὶ τροπῇ τοῦ ε εἰς ι, ἴθι· καὶ ἐξ αὐτοῦ ἰθέον, καὶ ἰτέον, τροπῇ τοῦ θ εἰς τ.

Ἴτην, — τὼ δ' αὖτις ἴτην παρὰ νῆας: — οὗτοι δὲ πάλιν παρεγένοντο. ἔστιν ἵημι τὸ πέμπω· καὶ συγκοπῇ τοῦ η, γίνεται ἶμι· ὁ παρατατικὸς, ἵν, ἵς, ἵσι· τὸ δυϊκὸν, ἶτον, ἴτην.

Ἴτης, ὁ ἐπὶ πάντα ὁρμῶν· ἀπὸ τοῦ ἰέναι. ἀπὸ τούτου καὶ εἰσιτήρια. οὕτως Ὧρος.

Ἰτρίον, τὸ καπυρῶδες τραῦμα ἢ πλάσμα, ἀπὸ τοῦ ἰέναι· ἐπὶ λεπτὸν γὰρ ἕλκεται.

Ἴτυς. ἡ περιφέρεια τοῦ ἅρματος ἢ τοῦ τροχοῦ· ἀπὸ τοῦ ἰέναι.

Ἴτυλος, ὄνομα κύριον, ὁ ἐκ τοιούτων γάμων Τηρεῖ γενόμενος, οἷον σύμβολον συμφορᾶς· τύλους γὰρ καὶ τύπους τὰ σημεῖα λέγουσι τῆς ταλαιπωρίας.

* Ἴττω, ἀντὶ τοῦ ἴστω, Βοιωτικῶς.

Ἰτωνὶς καὶ Ἰτωνία ἡ Ἀθηνᾶ εἴρηται παρὰ τοῖς Θεσσαλοῖς, ἀπό τινος πόλεως Ἴτωνος. φησὶ δὲ ὁ γενεαλόγος Σιμωνίδης, Ἰτώνου θυγατέρας γενέσθαι δύο, Ἀθηνᾶν καὶ Ἰοδάμαν· ἃς ἐζηλωκυίας τὴν ὁπλομαχικὴν, εἰς ἔριν τὴν εἰς ἀλλήλους χωρῆσαι, καὶ ἀναιρεθῆναι τὴν Ἰοδάμαν ὑπὸ τῆς Ἀθηνᾶς. οἷον, Πηλιάδες σκοπιῇσιν ἐθάμβεον εἰσορόωσαι Ἔργον Ἀθηναίης Ἰτωνίδος, Ἀπολλώνιος.

Ἴυγξ, ὁ ἔρως, καὶ ὀρνεόν τι τὸ λεγόμενον σεισοπυγὴς, ᾧ χρῶνται αἱ φαρμακίδες εἰς φίλτρα. ἴυγγας ἔχουσιν ἐν τοῖς λόγοις οἱ σοφισταί: — ἴυγγι, βοῇ, φωνῇ· καὶ
480 ἰύζει, βοᾷ, κραυγὴν ποιεῖ. λέγεται δὲ καὶ ἴυγξ σύριγξ μονοκάλαμος. σημαίνει δὲ καὶ ᾠδήν. καὶ ἰυγμὸς φωνὴ, συριγμός. Ὅμηρος, — οἱ δ' ἰύζοντες ἕποντο: — τουτέστι συρίζοντος. ἔστι δὲ πεποιημένη ἡ λέξις. καὶ ἰύζουσιν, ἀγροικῇ φωνῇ προφέρονται, φωνοῦσι. πεποίηται δὲ τοὔνομα, παρὰ τὸ ἰού ἐπίῤῥημα.

Ἶφι, τὸ ἰσχυρῶς. ὡς ἀπὸ τοῦ νόστος νόστου γίνεται νοστόφι, καὶ κατὰ συγκοπὴν νόσφι, οὕτω καὶ ἀπὸ τοῦ ἴς ἰνός, ὃ σημαίνει τὴν δύναμιν, γίνεται ἰνόφι· καὶ κατὰ συγκοπὴν, ἶφι. τὸ δὲ ι ἐστὶ μακρὸν, ὡς δικατάληκτον, ἴς, καὶ ἴν.

Ἴφια μῆλα, εὐτραφῆ, ἢ ἰσχυροποιὰ τῶν ἐσθιόντων· ἢ κατ' εὐφημισμὸν, τὰ ἀσθενῆ, καὶ οὐκ ἰσχυρά.

Ἶφις, ὄνομα κύριον· παρὰ τὸ ἶφι. τὰ δὲ παρ' αὐτοῦ πάντα διὰ τοῦ ι γράφεται· οἷον Ἰφιμέδουσα, Ἰφιγενής, Ἰφικλῆς. Εὐφορίων αὐτὴν ἐτυμολογεῖ Ἑλένης καὶ Θησέως· ὑποβλητὴν δὲ δοθῆναι Κλυταιμνήστρᾳ· — οὕνεκα δή μιν Ἶφι βιασαμένη Ἑλένη ὑπεγείνατο Θησεῖ: — ἐξ Ἑλένης καὶ Θησέως.

Ἴφικλος, ὁ ἥρως, ἰφίκολός τις ὤν· ταχύτατος γὰρ ἱστορεῖται· καὶ οἱ παῖδες αὐτοῦ, Πρωτεσίλαος καὶ Ποδάρκης.

Ἴφθιμος, ὁ ἰσχυρὸς καὶ γενναῖος. ὡς παρὰ τὸ ἄνθος γίνεται ἄνθιμος. καὶ κῦδος κύδιμος, οὕτω καὶ παρὰ τὸ ἶφι, ἴφιμος· καὶ πλεονασμῷ τοῦ θῆτα· ἢ ὥσπερ παρὰ τὸ πρωΐ, πρώϊμος καὶ ὀψέ, ὄψιμος· ἅμα δὲ τῷ πλεονασμῷ τοῦ θῆτα, καὶ ὁ χρόνος ὑπερεβιβάσθη· καὶ ἡ μὲν ἄρχουσα, θέσει μακρά ἐστιν· ἡ δὲ παραλήγουσα, φύσει. οἱ δὲ λέγουσιν, ὅτι σύνθετός ἐστι, παρὰ τὸ ἶφι καὶ τὸ θυμός, ἰφίθυμος· καὶ συγκοπῇ, ἴφθιμος. οἷστισιν ἀντίκειται τὸ θηλυκὸν, ἰφθίμη ὄν. εἰ γὰρ ἦν σύνθετον, ἤμελλεν εἶναι κοινὸν τῷ γένει· τὰ γὰρ σύνθετα κοινά εἰσι τῷ γένει· οἷον, ὁ φιλόσοφος, καὶ ἡ φιλόσοφος· ὁ πάνσοφος, καὶ ἡ πάνσοφος· ὁ ἄοικος, καὶ ἡ ἄοικος· χωρὶς εἰ μηδὲν πλέον σημαίνει τοῦ ἁπλοῦ· διὰ τὸ ἐναντίος, ἐναντία· ἐναντίβιος, ἐναντιβία· ἐναλίγκιος, ἐναλιγκία. ταῦτα γὰρ κοινὰ εἰσι τῷ γένει· ἀλλ' οὐκ ἀντίκειται ἡμῖν, ἐπειδὴ οὐδὲν πλέον σημαίνει τοῦ ἁπλοῦ. τὸ γὰρ ἀντίος καὶ ἐναντίος, καὶ τὸ ἀλίγκιος καὶ ἐναλίγκιος, τὰ αὐτὰ σημαίνει ἅπερ καὶ τὰ ἁπλᾶ. σημαίνει δὲ τρία, τὸν ἰσχυρόν, ὡς τὸ, Ἰφθίμους ψυχάς: — τὸν πολὺν, ὡς τὸ, Οἵ ἑ μέγαν περ ἐόντα, καὶ ἴφθιμον καὶ ἀγαυόν: — τὴν συνετὴν, ὡς τὸ, Ἰφθίμη ἄλοχος Διομήδους Ἱπποδάμεια.

Ἰχθύς] παρὰ τὸ ἰθύω τὸ ὁρμῶ, ἰθύς, καὶ ἰχθύς.

Ἴχνος, παρὰ τὸ ἴσχειν (ὅ ἐστι συνέχειν) ὅλον τὸν πόδα· ἢ ἀπὸ τοῦ ἀνέχεσθαι τῆς γῆς.

Ἴχνιον, ἴχνος, πάτημα· ἀπὸ τοῦ αἴξω· ἢ παρὰ τὸ ἵζω, ἵγμαι, ἴχνιον, ὡς παίζω, παίγνιον. προπαροξύνεται, ὡς τὸ ἀράχνιον· οὐ γὰρ ἐστὶν ὑποκοριστικὸν, ἀλλ' ἀπὸ ῥήματος ἐσχημάτισται. εἰς τὸ θηρίον.

Ἰχὼρ, τὸ σεσηπὸς αἷμα. ἀπὸ τοῦ ἴσχω τὸ λεπτύνω, ἰσχὼρ, καὶ ἰχὼρ, τὸ λεπτῦνον τὸ σῶμα ἐν τῷ καταστάζειν· ὅθεν καὶ τὸ ἰῶτα φύσει μακρόν, ὡς ἐν τῷ γίγνεται, γίνεται. ζήτει εἰς τὸ ἰσχανόων. κλίνεται ἰχῶρος· ἡ αἰτιατικὴ, ἰχῶρα· καὶ κατὰ συγκοπὴν, ἰχῶ· — ἀπ' ἰχῶ χειρὸς ὀμόρξεν, Ἰλιάδος ε΄. τὰ γὰρ εἰς ωρ ὀξύτονα ἀρσενικὰ διὰ τοῦ ω κλίνεται, ἰχώρ, ἰχῶρος· 481
ἀχώρ, ἀχῶρος.

Ἶψ, ὁ σκώληξ. τὰ εἰς ιψ πᾶσαν δίφθογγον ἀποστρέφεται. γίνεται παρὰ τὸ ἴπτω τὸ βλάπτω, ἴπω, ἴψ. κλίνεται ἰπός, ὡς θρίψ, θριπός, καὶ ἴξ, ἰκός· καὶ σής, σητός. ἶπες δέ εἰσιν οἱ σκώληκες οἱ ἐσθίοντες τὰ κέρατα, οἷον, Μὴ κέρα ἶπες ἔδοιεν: — θρῖπες δὲ εἰσὶν, οἱ ἐσθίοντες τὰ ξύλα σκώληκες· σῆτες δὲ, οἱ ἐσθίοντες τὰ ἱμάτια· ἶκες δὲ, οἱ ἐσθίοντες τὰς ἀμπέλους, ἢ τοὺς ὀφθαλμοὺς τῶν ἀμπέλων· κίες δὲ, τῶν πυρῶν καὶ κριθῶν.

Ἰώ τὸ ἐπίῤῥημα, ἐκ τοῦ ἰωὴ κατὰ συγκοπήν· Τρύφων δὲ λέγει, ὅτι τὸ ὦ τὸ κλητικὸν προσέλαβε τὸ ι καὶ ἐγένετο ἰώ· εἶτα τὸ ὦ περισπᾶται· τὸ δὲ ἰώ ὀξύνεται, οἷον, ἰὼ ὦ Ἄπολλον, ἰὼ ὦ Ἀπολλώνιε, ἰὼ Λακεδαίμον. ἀλλὰ σχετλιαστικὸν καὶ βακχευτικὸν, οὐχ ὑποπίπτει ἀναλογίᾳ. περὶ παθῶν.

Ἰωὴ, σημαίνει τὴν πνοήν. παρὰ τὸ ἵημι, γίνεται ἰή· καὶ πλεονασμῷ τοῦ ω. ἰωὴ καὶ ἡ φωνὴ, παρὰ τὸ ἴω γίνεται, ἡ διϊκνουμένη εἰς ἀκοήν.

Ἰών, μετοχὴ δευτέρου ἀορίστου· τὸ θέμα, ἴω· ὁ δεύτερος ἀόριστος, ἶον· ἰών, ἡ μετοχή.

Ἰωγὴ, ἡ σκέπη· ἀπὸ τοῦ ἰέναι· τὸ γὰρ σκέπον ἐπὶ πᾶν ὃ σκέπει ἵεται· καὶ ὑπιωγαὶ δὲ αἱ ὑπαγωγαὶ καὶ σκέπαι.

Ἰωκὴ, ἡ δίωξις. παρὰ τὸ διώκω, διωκή· καὶ ἀποβολῇ τοῦ δ, ἰωκή. σημαίνει καὶ τὴν ἀπειλήν.

Ἰῶκά τε δακρυόεσσαν. τινὲς γὰρ ἰῶ· εἶτα, καταδακρυόεσσαν. γίνεται δὲ ἔκθεσμον· ὁ γὰρ Ὅμηρος ἰῶκα τὴν ἰωκὴν λέγει, ἤγουν τὴν δίωξιν, ὡς Ἡσίοδος τὴν κρόκην, κρόκα. ὥςτε μεταπλασμός ἐστιν.

Ἰῶξις] ὡς ἐκ τοῦ λέγω λέξω γίνεται λέξις, καὶ ἔξω ἕξις, οὕτω καὶ ἀπὸ τοῦ διώκω, διώξω, δίωξις· καὶ ἀποβολῇ τοῦ δ.

Ἰωχμός, δίωξις, τάραχος. παρὰ τὸ διώξω, διωγμός· καὶ τροπῇ τοῦ γ εἰς χ, καὶ ἀποβολῇ τοῦ δ, ἰωχμός.

Ἰῶ, τὸ πορεύομαι· ἐξ οὗ καὶ ἱερὸν, ὁ ἀνειμένος τόπος εἰς τιμὴν τοῦ θεοῦ.